Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-666242-p0001-9

Ba. 74 b

1) Palladius, P.

nebst 2) – 7)

2–5) Holzschnitte!

6) u. 7) Luthers Kleinen Katechismus für Coburg (griech. u. lateinisch)

MF (1-2,5)

Peder Palladius
✓

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-666242-p0003-0

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-666242-p0004-5

Peder Palladius

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-666242-p0005-1

# LIBER SAPIENTIÆ SALOMONIS,

*In usum Scholæ Coburgensis sorsim editus, Græcè,*

CVRANTE M. IOHANNE F[illegible]BRO, EIVSDEM SCHOLÆ RECTORE.

Iudi[illegible]um præcipui alicujus Theologi de hoc Libro:

*Quamv[illegible] PHILONIS opus esse consensus Ecc[illegible]sticorum Scriptorum testetur, certè liber [illegible] AVREVS, & inprimis dignus, qui [illegible]cipibus, ac omni Magistratui di[illegible]ter & sedulò proponatur, & [illegible]stris temporibus per omnia conveniens est.*

COBVRGI,

A[illegible]o CHRISTI M. DCI.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-666242-p0006-7

[Biblia. Testamentum Vetus. Sapientia, griech.]

I.

# CAPUT I.

1. Ἀγαπήσατε δικαιοσύνην οἱ κρίνοντες τὴν γῆν, φρονήσατε περὶ τοῦ κυρίου ἐν ἀγαθότητι, καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν.

2. ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ.

3. σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ θεοῦ, δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει τοὺς ἄφρονας.

4. ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι καταχρέῳ ἁμαρτίας.

5. ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται δόλον, καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων, καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας.

6. φιλάνθρωπον γὰρ πνεῦμα σοφία, καὶ οὐκ ἀθωώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ.

ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ θεὸς, καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς, καὶ τῆς γλώσσης ἀκουστής.

7. ὅτι πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην, καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς.

8. Διὰ τοῦτο φθεγγόμενος ἄδικα, οὐδὴ μὴ λάθῃ, οὐδὲ μὴ παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη.

9. ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται, λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς Κύριον ἥξει εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ.

10. ὅτι οὓς ζηλώσεως ἀκροᾶται τὰ πάντα, καὶ θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται.

11. Φυλάξασθε τοίνυν γογγυσμὸν ἀνωφελῆ, καὶ ἀπὸ καταλαλιᾶς φείσασθαι γλώσσης. ὅτι φθέγμα λάθριον κενὸν οὐ πορεύσεται, στόμα δὲ καταψευδόμενον ἀναιρεῖ ψυχήν.

12. μὴ ζηλοῦτε θάνατον ἐν πλάνῃ ζωῆς ὑμῶν, μηδὲ ἐπισπᾶσθε ὄλεθρον ἔργοις χειρῶν ὑμῶν.

13. ὅτι ὁ θεὸς θάνατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐν ἀπωλείᾳ ζώντων.

14. ἔκτισε γὰρ εἰς τὸ εἶναι τὰ πάντα, καὶ σω-

τήριοι αἱ γενέσεις τοῦ κόσμου, καὶ οὐκ ἔστιν ἐν αὐταῖς φάρμακον ὀλέθρου, οὔτε ᾅδου βασίλειον ἐπὶ γῆς.

15. Δικαιοσύνη γὰρ ἀθάνατός ἐστιν.

16. ἀσεβεῖς δὲ ταῖς χερσὶν, καὶ τοῖς λόγοις προσεκαλέσαντο αὐτὸν, φίλον ἡγησάμενοι αὐτὸν, ἐτάκησαν, καὶ συνθήκην ἔθεντο πρὸς αὐτὸν, ὅτι ἄξιοί εἰσι τῆς ἐκείνου μερίδος εἶναι.

## CAPUT II.

1. Εἶπον γὰρ ἐν ἑαυτοῖς λογισάμενοι οὐκ ὀρθῶς.
ὀλίγος ἐστὶ καὶ λυπηρὸς ὁ βίος ἡμῶν,
καὶ οὐκ ἔστιν ἴασις ἐν τελευτῇ ἀνθρώπου,
καὶ οὐκ ἐγνώσθη ὁ ἀναλύσας ἐξ ᾅδου.

2. ὅτι αὐτοσχεδίως ἐγεννήθημεν, καὶ μετὰ τοῦτο ἐσόμεθα, ὡς οὐχ ὑπάρξαντες. ὅτι καπνὸς ἡ πνοὴ ἐν ῥισὶν ἡμῶν, καὶ ὁ λόγος σπινθὴρ ἐν κινήσει καρδίας ἡμῶν.

3. οὗ σβεσθέντος τέφρα ἀποβήσεται τὸ σῶμα, καὶ τὸ πνεῦμα διαχυθήσεται ὡς χαῦνος ἀήρ.

4. Καὶ τὸ ὄνομα ἡμῶν ἐπιληθήσεται ἐν

χρόνῳ, καὶ οὐδεὶς μνημονεύσει τῶν ἔργων ἡμῶν. καὶ παρελεύσεται ὁ βίος ἡμῶν ὡς ἴχνη νεφέλης, καὶ ὡς ὁμίχλη διασκεδασθήσεται διωχθεῖσα ὑπὸ ἀκτίνων ἡλίου, καὶ ὑπὸ θερμότητος αὐτοῦ βαρυνθεῖσα.

5. σκιᾶς γὰρ πάροδος ὁ καιρὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀναποδισμὸς τῆς τελευτῆς ἡμῶν. ὅτι κατεσφραγίσθη, καὶ οὐδεὶς ἀναστρέφει.

6. δεῦτε οὖν, καὶ ἀπολαύσωμεν τῶν ὄντων ἀγαθῶν, καὶ χρησώμεθα τῇ κτίσει ὡς νεότητι σπουδαίως.

7. οἴνου πολυτελοῦς καὶ μύρων πλησθῶμεν, καὶ μὴ παροδευσάτω ἡμᾶς ἄνθος ἔαρος.

8. στεψώμεθα ῥόδων κάλυξι, πρὶν ἢ μαρανθῆναι.

9. μηδεὶς ἡμῶν ἄμοιρος ἔστω τῆς ἡμετέρας ἀγερωχίας. πανταχῇ καταλίπωμεν σύμβολα τῆς εὐφροσύνης. ὅτι αὕτη ἡ μερὶς ἡμῶν, καὶ ὁ κλῆρος οὗτος.

10. καταδυναστεύσωμεν πένητα δίκαιον, μὴ φεισώμεθα χήρας, μηδὲ πρεσβύτου ἐντραπῶμεν πολιὰς πολυχρονίους.

11. ἔστω δὲ ἡμῶν ἡ ἰσχὺς νόμος τῆς δικαιοσύνης. τὸ γὰρ ἀσθενὲς ἄχρηστον ἐλέγχεται.

12. ἐνεδρεύσωμεν δὲ τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι, καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν, καὶ ὀνειδίζει ἡμῖν ἁμαρτήματα νόμου, καὶ ἐπιφημίζεται ἡμῖν ἁμαρτήματα παιδείας ἡμῶν.

13. ἐπαγγέλλεται γνῶσιν ἔχειν θεοῦ, καὶ παῖδα Κυρίου ἑαυτὸν ὀνομάζει.

14. ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν ἡμῶν.

15. βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος. ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ, καὶ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ.

16. εἰς κίβδηλον ἐλογίσθημεν αὐτῷ, καὶ ἀπέχεται τῶν ὁδῶν ἡμῶν, ὡς ἀπὸ ἀκαθαρσιῶν. μακαρίζει ἔσχατα δικαίων, καὶ ἀλαζονεύεται πατέρα θεόν.

17. ἴδωμεν εἰ οἱ λόγοι αὐτοῦ ἀληθεῖς, καὶ πειράσωμεν τὰ ἐν ἐκβάσει αὐτοῦ.

18. εἰ γάρ ἐστιν ὁ δίκαιος υἱὸς θεοῦ, ἀντιλήψεται αὐτοῦ, καὶ ῥύσεται αὐτὸν ἐκ χειρὸς ἀνθεστηκότων.

19. ὕβρει καὶ βασάνῳ ἐτάσωμεν αὐτὸν, ἵνα γνῶμεν τὴν ἐπιείκειαν αὐτοῦ, καὶ δοκιμάσωμεν τὴν ἀνεξικακίαν αὐτοῦ.

20. θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτόν. ἔσται γὰρ αὐτοῦ ἐπισκοπὴ ἐκ λόγων αὐτοῦ.

21 ταῦτα ἐλογίσαντο, καὶ ἐπλανήθησαν. ἀ-
πετύφλωσε γὰρ αὐτοὺς ἡ κακία αὐτῶν.
22. καὶ οὐκ ἔγνωσαν μυστήρια θεοῦ, οὐδὲ μι-
σθὸν ἤλπισαν ὁσιότητος, οὐδὲ ἔκριναν γέρας ψυ-
χῶν ἀμώμων.
23. ὅτι ὁ θεὸς ἔκτισε τὸν ἄνθρωπον ἐπ' ἀ-
φθαρσίᾳ, καὶ εἰκόνα τῆς ἰδίας ἀϊδιότητος ἐποίη-
σεν αὐτόν.
24. φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν
εἰς τὸν κόσμον.
25. πειράζουσι δὲ αὐτὸν οἱ τῆς ἐκείνου μερίδος
ὄντες.

## CAPVT III.

1. ΔΙκαίων δὲ ψυχαὶ ἐν χειρὶ θεοῦ, καὶ οὐ
μὴ ἅψηται αὐτῶν βάσανος.
2. ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι,
καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν.
3. καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα. οἱ δὲ
εἰσὶν ἐν εἰρήνῃ.
4. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶ-
σιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης.
5. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργε-
θήσον-

θήσονται. ὅτι ὁ θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν
αὐτοὺς ἀξίους ἑαυτοῦ.
6. ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐ-
τοὺς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο
αὐτούς.
7. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμ-
ψουσιν, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδρα-
μοῦνται.
8. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ
βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας.
9. οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλή-
θειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐ-
τῷ. ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ,
καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.
10. οἱ δὲ ἀσεβεῖς καθὰ ἐλογίσαντο, ἕξουσιν
ἐπιτιμίαν, οἱ ἀμελήσαντες τοῦ δικαίου, καὶ τοῦ
Κυρίου ἀποστάντες.
11. σοφίαν γὰρ καὶ παιδείαν ἐξουθενῶν, τα-
λαίπωρος, καὶ κενὴ ἡ ἐλπὶς αὐτῶν, καὶ οἱ κό-
ποι ἀπόνητοι, καὶ ἄχρηστα τὰ ἔργα αὐτῶν.
12. αἱ γυναῖκες αὐτῶν ἄφρονες, καὶ πονηρὰ τὰ
τέκνα αὐτῶν, ἐπικατάρατος ἡ γέννησις αὐτῶν.
13. ὅτι μακαρία στεῖρα ἡ ἀμίαντος, ἥτις

οὐκ ἔγνω κοίτην ἐν παραπτώματι, ἕξει καρπὸν
ἐν ἐπισκοπῇ ψυχῶν.
14. καὶ εὐνοῦχος ὁ μὴ ἐργασάμενος ἐν χειρὶ
ἀνόμημα, μηδὲ ἐνθυμηθεὶς κατὰ τοῦ Κυρίου πονηρά.
δοθήσεται γὰρ αὐτῷ τῆς πίστεως χάρις ἐκλεκτὴ,
καὶ κλῆρος ἐν ναῷ Κυρίου θυμηδέστερος.
15. ἀγαθῶν γὰρ πόνων καρπὸς εὐκλεὴς, καὶ
ἀδιάπτωτος ἡ ῥίζα τῆς φρονήσεως.
16. τέκνα δὲ μοιχῶν ἀτέλεστα ἔσται, καὶ ἐκ
παρανόμου κοίτης σπέρμα ἀφανισθήσεται.
17. ἐάν τε γὰρ μακρόβιοι γένωνται, εἰς οὐδὲν
λογισθήσονται, καὶ ἄτιμον ἐπ' ἐσχάτων τὸ γῆρας
αὐτῶν.
18. ἐάν τε ὀξέως τελευτήσωσιν, οὐκ ἔχουσιν
ἐλπίδα, οὐδὲ ἐν ἡμέρᾳ διαγνώσεως παρα-
μύθιον.
19. γενεᾶς γὰρ ἀδίκου χαλεπὰ τὰ τέλη.

## CAPUT IIII.

1. Κρείσσων ἀτεκνία μετὰ ἀρετῆς. ἀθανασία
γάρ ἐστιν ἐν μνήμῃ αὐτῆς. ὅτι καὶ πα-
ρὰ θεῷ γινώσκεται, καὶ παρὰ ἀνθρώποις.
2. παροῦσάν τε μιμοῦνται αὐτὴν, καὶ ποθοῦσιν

ἀπελ-

ἀπελθοῦσαν, καὶ ἐν τῷ αἰῶνι στεφανηφοροῦσα πομπεύει, τὸν τῶν ἀμιάντων ἄθλων ἀγῶνα νικήσασα.

3. πολύγονον δὲ ἀσεβῶν πλῆθος οὐ χρησιμεύσει, καὶ ἐκ νόθων μοσχευμάτων οὐ δώσει ῥίζαν εἰς βάθος, οὐδὲ ἀσφαλῆ βάσιν ἑδράσει.

4. Κἂν γὰρ ἐν κλάδοις πρὸς καιρὸν ἀναθάλῃ, ἐπισφαλῶς βεβηκότος ὑπὸ ἀνέμου σαλευθήσεται, καὶ ὑπὸ βίας ἀνέμων ἐκριζωθήσεται.

5. περικλασθήσονται κλῶνες ἀτέλεστοι, καὶ ὁ καρπὸς αὐτῶν ἄχρηστος, ἄωρος εἰς βρῶσιν, καὶ εἰς οὐδὲν ἐπιτήδειος.

6. ἐκ γὰρ ἀνόμων ὕπνων τέκνα γενόμενα μάρτυρές εἰσι πονηρίας κατὰ γονέων, ἐν ἐξετασμῷ αὐτῶν.

7. Δίκαιος δὲ ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται.

8. γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται.

9. πολιὰ δὲ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος.

10. εὐάρεστος τῷ θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη.

11. ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ.

12. βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον.

13. τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς.

14. ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας.

15. οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτο, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν ἐκλεκτοῖς αὐτοῦ.

16. Κατακρινεῖ δὲ δίκαιος θανὼν τοὺς ζῶντας ἀσεβεῖς, καὶ νεότης τελεσθεῖσα ταχέως πολύετες γῆρας ἀδίκου.

17. ὄψονται γὰρ τελευτὴν σοφοῦ, καὶ οὐ νοήσουσι, τί ἐβουλεύσατο περὶ αὐτοῦ, καὶ εἰς τί ἠσφαλίσατο αὐτὸν ὁ Κύριος.

18. ὄψονται καὶ ἐξουθενήσουσιν, αὐτοὺς δὲ ὁ Κύριος ἐκγελάσεται.

19. καὶ ἔσονται μετὰ τοῦτο εἰς πτῶμα ἄτιμον, καὶ εἰς ὕβριν ἐν νεκροῖς δι' αἰῶνος. ὅτι ῥήξει αὐτοὺς ἀφρόνους πρηνεῖς, καὶ σαλεύσει αὐτοὺς ἐκ θε-

σονται

μελίων, καὶ ἕως ἐσχάτου χερσωθήσονται, καὶ ἔσονται ἐν ὀδύνῃ, καὶ ἡ μνήμη αὐτῶν ἀπολεῖται.

20. ἐλεύσονται ἐν συλλογισμῷ ἁμαρτημάτων αὐτῶν δειλοὶ, καὶ ἐλέγξει αὐτοὺς ἐξεναντίας τὰ ἀνομήματα αὐτῶν.

## CAPUT V.

1. Τότε στήσεται ἐν παῤῥησίᾳ πολλῇ ὁ δίκαιος κατὰ πρόσωπον τῶν θλιψάντων αὐτὸν, καὶ τῶν ἀθετούντων τοὺς πόνους αὐτοῦ.

2. ἰδόντες ταραχθήσονται φόβῳ δεινῷ, καὶ ἐκστήσονται ἐπὶ τῷ παραδόξῳ τῆς σωτηρίας.

3. ἐροῦσιν ἐν ἑαυτοῖς μετανοοῦντες, καὶ διὰ στενοχωρίαν πνεύματος στενάξονται. οὗτος ἦν, ὃν ἔσχομέν ποτε εἰς γέλωτα, καὶ εἰς παραβολὴν ὀνειδισμοῦ.

4. οἱ ἄφρονες τὸν βίον αὐτοῦ ἐλογισάμεθα μανίαν, καὶ τὴν τελευτὴν αὐτοῦ ἄτιμον.

5. πῶς κατελογίσθη ἐν υἱοῖς θεοῦ, καὶ ἐν ἁγίοις ὁ κλῆρος αὐτοῦ ἐστιν;

6. ἄρα ἐπλανήθημεν ἀπὸ ὁδοῦ ἀληθείας, καὶ τὸ τῆς δικαιοσύνης φῶς οὐκ ἔλαμψεν ἡμῖν, καὶ ὁ ἥλιος οὐκ ἀνέτειλεν ἡμῖν.

7. ἀνομίας ἐνεπλήθημεν τρίβοις, καὶ ἀπωλείας,

λείας. καὶ διωδεύσαμεν ἐρήμους ἀβάτους, τὴν δὲ ὁδὸν Κυρίου οὐκ ἔγνωμεν.

8. τί ὠφέλησεν ἡμᾶς ὑπερηφανία; καὶ τί πλοῦτος μετὰ ἀλαζονείας συμβέβληται ἡμῖν;

9. παρῆλθεν ἐκεῖνα πάντα ὡς σκιὰ, καὶ ὡς ἀγγελία παρατρέχουσα.

10. ὡς ναῦς διερχομένη κυμαινόμενον ὕδωρ, ἧς διαβάσεως οὐκ ἔστιν ἴχνος εὑρεῖν, οὐδὲ ἀτραπὸν τρίβου αὐτοῦ ἐν κύμασιν.

11. ἢ ὡς ὀρνέου διαπτάντος ἀέρα, οὐδὲν εὑρίσκεται τεκμήριον πορείας, πληγῇ δὲ ταρσῶν μαστιζόμενον πνεῦμα κοῦφον, καὶ σχιζόμενον βίᾳ ῥοίζου, κινουμένων πτερύγων διωδεύθη, καὶ μετὰ τοῦτο οὐχ εὑρέθη σημεῖον ἐπιβάσεως ἐν αὐτῷ.

12. ἢ ὡς βέλους βληθέντος ἐπὶ σκοπὸν τμηθεὶς ὁ ἀὴρ εὐθέως εἰς ἑαυτὸν ἀνελύθη, ὡς ἀγνοῆσαι τὴν δίοδον αὐτοῦ.

13. οὕτω καὶ ἡμεῖς γεννηθέντες ἐξελίπομεν, καὶ ἀρετῆς μὲν σημεῖον οὐδὲν ἔχομεν δεῖξαι.

14. ἐν δὲ τῇ κακίᾳ ἡμῶν κατεδαπανήθημεν.

15. ὅτι ἐλπὶς ἀσεβοῦς ὡς φερόμενος χνοῦς ὑπὸ ἀνέμου, καὶ ὡς πάχνη ὑπὸ λαίλαπος διωχθεῖσα λεπτὴ, καὶ ὡς καπνὸς ὑπὸ ἀνέμου διεχύθη.

χύθη, καὶ ὡς μνεία καταλύτου μονοημέρου πα-
ρώδευσεν.

16. δίκαιοι δὲ εἰς τὸν αἰῶνα ζῶσιν, καὶ ἐν Κυ-
ρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν πα-
ρὰ ὑψίστῳ.

17. διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐ-
πρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χει-
ρὸς Κυρίου. ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς, καὶ τῷ
βραχίονι ὑπερασπιεῖ αὐτῶν.

18. λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ
ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν.

19. ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περι-
θήσεται κόρυθα κρίσιν ἀνυπόκριτον.

20. λήψεται ἀσπίδα ἀκαταμάχητον ὁ-
σιότητα.

21. ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν;
συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς πα-
ράφρονας.

22. πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν,
καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκο-
πὸν ἁλοῦνται.

23. καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφή-
σονται χάλαζαι. ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ
θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως.

24. ἀντιςήσεται αὐτοῖς πνεῦμα δυνάμεως,
καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρη-
μώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπρα-
γία περιτρέψει θρόνους δυναςῶν.

## CAPVT VI.

1. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε, μάθε-
τε δικαςαὶ περάτων γῆς.
2. ἐνωτίσασθαι οἱ κρατοῦντες πλήθους, καὶ γε-
γαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν.
3. ὅτι ἐδόθη παρὰ τοῦ Κυρίου ἡ κράτησις ὑμῖν,
καὶ ἡ δυναςεία παρὰ ὑψίςου, ὃς ἐξετάσει ὑμῶν
τὰ ἔργα, καὶ τὰς βουλὰς διερευνήσει.
4. ὅτι ὑπηρέται ὄντες τῆς αὐτοῦ βασιλείας οὐκ
ἐκρίνατε ὀρθῶς, οὐδὲ ἐφυλάξατε νόμον, οὐδὲ κατὰ
τὴν βουλὴν τοῦ θεοῦ ἐπορεύθητε.
5. Φρικτῶς καὶ ταχέως ἐπιςήσεται ὑμῖν, ὅτι
κρίσις ἀπότομος ἐν τοῖς ὑπερέχουσι γίνεται.
6. ὁ γὰρ ἐλάχιςος συγγνωςός ἐςιν ἐλέους,
δυνατοὶ δὲ δυνατῶς ἐτασθήσονται.
7. οὐ γὰρ ὑποςελεῖται πρόσωπον ὁ πάντων
δεσπότης, οὐδὲ ἐντραπήσεται μέγεθος.
ὅτι μικρὸν καὶ μέγαν αὐτὸς ἐποίησεν, ὁμοίως
τε προνοεῖ περὶ πάντων.

8. τοῖς δὲ κραταιοῖς ἰσχυρὰ ἐφίσταται ἔρευνα.
9. πρὸς ὑμᾶς οὖν, ὦ τύραννοι, οἱ λόγοι μου, ἵνα μάθητε Σοφίαν, καὶ μὴ παραπέσητε.
10. οἱ γὰρ φυλάξαντες ὁσίως τὰ ὅσια, ὁσιωθήσονται, καὶ οἱ διδαχθέντες αὐτὰ εὑρήσουσιν ἀπολογίαν.
11. ἐπιθυμήσατε οὖν τῶν λόγων μου, ποθήσατε, καὶ παιδευθήσατε.
12. λαμπρὰ καὶ ἀμάραντός ἐστι Σοφία, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτὴν, καὶ εὑρίσκεται ὑπὸ τῶν ζητούντων αὐτήν.
13. φθάνει τοὺς ἐπιθυμοῦντας προγνωσθῆναι.
14. ὁ ὀρθρίσας ἐπ' αὐτὴν, οὐ κοπιάσει, πάρεδρον γὰρ εὑρήσει τῶν πυλῶν αὐτοῦ.
15. τὸ γὰρ ἐνθυμηθῆναι περὶ αὐτοῦ φρονήσεως τελειότης, καὶ ὁ ἀγρυπνήσας δι' αὐτὴν ταχέως ἀμέριμνος ἔσται.
16. ὅτι τοὺς ἀξίους αὐτοῦ αὕτη περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς, καὶ πάσῃ ἐπινοίᾳ ὑπαντᾷ αὐτοῖς.
17. ἀρχὴ γὰρ αὐτοῦ ἀληθεστάτη παιδείας ἐπιθυμία.
18. φροντὶς δὲ παιδείας ἀγάπη, ἀγάπη δὲ τήρησις νόμων αὐτῆς.

19. προσοχὴ δὲ νόμων βεβαίωσις ἀφθαρσίας.

ἀφθαρσία δὲ ἐγγὺς εἶναι ποιεῖ θεοῦ.

20. ἐπιθυμία ἄρα Σοφίας ἀνάγει ἐπὶ βασιλείαν.

21. εἰ οὖν ἥδεσθε ἐπὶ θρόνοις καὶ σκήπτροις, τύραννοι λαῶν, τιμήσατε Σοφίαν, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε.

22. τί δέ ἐστι Σοφία, καὶ πῶς ἐγένετο, ἀπαγγελῶ ὑμῖν.

23. Καὶ οὐκ ἀποκρύψω ὑμῖν μυστήρια, ἀλλὰ ἀπ᾽ ἀρχῆς γενέσεως ἐξιχνιάσω.

24. καὶ θήσω εἰς τὸ ἐμφανὲς τὴν γνῶσιν αὐτῆς, καὶ οὐ μὴ παροδεύσω τὴν ἀλήθειαν.

25. οὔτε μὴν φθόνῳ τετηκότι συνοδεύσω. ὅτι οὗτος οὐ κοινωνήσει σοφίᾳ.

26. πλῆθος δὲ σοφῶν σωτηρία κόσμου,
καὶ βασιλεὺς φρόνιμος εὐστάθεια δήμου.

27. ὥστε παιδεύεσθε τοῖς ῥήμασί μου, καὶ ὠφεληθήσεσθε.

## CAPUT VII.

1. Εἰμὶ μὲν κἀγὼ θνητὸς ἄνθρωπος ἴσος ἅπασιν, καὶ γηγενοῦς ἀπόγονος πρωτοπλάστου.

2. καὶ

2. καὶ ἐν κοιλίᾳ μητρὸς ἐγλύφην σὰρξ δε-
καμηνιαίῳ χρόνῳ, παγεὶς ἐν αἵματι ἐκ
σπέρματος ἀνδρὸς, καὶ ἡδονῆς ὕπνῳ συνελ-
θούσης.

3. καὶ ἐγὼ δὲ γενόμενος ἔσπασα τὸν κοινὸν
ἀέρα, καὶ ἐπὶ τὴν ὁμοιοπαθῆ κατέπεσον γῆν,
πρώτην φωνὴν τὴν ὁμοίαν πᾶσιν ἴσα κλαί-
ων.

4. ἐν σπαργάνοις ἀνετράφην, καὶ ἐν φρον-
τίσιν.

5. οὐδεὶς γὰρ βασιλεὺς ἑτέραν ἔσχε γενέσεως
ἀρχήν.

6. μία δὲ πάντων εἴσοδος εἰς τὸν βίον, ἔξο-
δός τε ἴση.

7. διὰ τοῦτο ηὐξάμην, καὶ φρόνησις ἐδόθη
μοι, ἐπεκαλεσάμην, καὶ ἦλθέ μοι πνεῦμα
σοφίας.

8. προέκρινα αὐτὴν σκήπτρων καὶ θρό-
νων, καὶ πλοῦτον οὐδὲν ἡγησάμην ἐν συγκρίσει
αὐτῆς.

9. οὐδὲ ὡμοίωσα αὐτῇ λίθον τίμιον. ὅτι ὁ
πᾶς χρυσὸς ἐν ὄψει αὐτῆς ψάμμος ὀλίγη,
καὶ ὡς πηλὸς λογισθήσεται ἄργυρος ἐναντίον
αὐτῆς.

10. ὑπὲρ ὑγίειαν καὶ εὐμορφίαν ἠγάπησα αὐτὴν, καὶ προειλόμην αὐτὴν ἀντὶ φωτὸς ἔχειν. ὅτι ἀκοίμητον τὸ ἐκ ταύτης φέγγος.

11. ἦλθε δέ μοι τὰ ἀγαθὰ ὁμοῦ πάντα μετ' αὐτῆς, καὶ ἀναρίθμητος πλοῦτος ἐν χερσὶν αὐτῆς.

12. εὐφράνθην δὲ ἐπὶ πᾶσιν, ὅτι αὐτῶν ἡγεῖται Σοφία, ἠγνόουν δὲ αὐτὴν γέννησιν εἶναι τούτων.

13. ἀδόλως τε ἔμαθον, ἀφθόνως δὲ μεταδίδωμι, τὸν πλοῦτον αὐτῆς οὐκ ἀποκρύπτομαι.

14. ἀνεκλιπὴς γὰρ θησαυρός ἐστιν ἀνθρώποις, ὃν οἱ χρησάμενοι πρὸς θεὸν ἐστείλαντο φιλίαν, διὰ τὰς ἐκ παιδείας δωρεὰς συσταθέντες.

15. ἐμοὶ δέδωκεν ὁ θεὸς εἰπεῖν κατὰ γνώμην, καὶ ἐνθυμηθῆναι ἀξίως τῶν διδομένων.
ὅτι αὐτὸς καὶ τῆς σοφίας ὁδηγός ἐστι, καὶ τῶν σοφῶν διορθωτής.

16. ἐν γὰρ χειρὶ αὐτοῦ καὶ ἡμεῖς, καὶ οἱ λόγοι ἡμῶν, πᾶσά τε φρόνησις, καὶ ἐργατειῶν ἐπιστήμη.

17. αὐτὸς γάρ μοι ἔδωκε τῶν ὄντων γνῶσιν ἀψευδῆ, εἰδέναι σύστασιν κόσμου, καὶ ἐνέργειαν στοιχείων.

18. ἀρχὴν, καὶ τέλος, καὶ μεσότητα χρό-

νον,

νων, τρόπων ἀλλαγὰς, καὶ μεταβολὰς και-
ρῶν.

19, ἐνιαυτῶν κύκλους, καὶ ἀστέρων θέσεις.

20. Φύσεις ζώων, καὶ θυμοὺς θηρίων, πνευ-
μάτων βίας, καὶ διαλογισμοὺς ἀνθρώπων, δια-
φορὰς Φυτῶν, καὶ δυνάμεις ῥιζῶν.

21. ὅσα τέ ἐστι κρυπτὰ καὶ ἐμφανῆ ἔγνων.

ἡ γὰρ πάντων τεχνῖτις ἐδίδαξέ με Σοφία.

22. ἔστι γὰρ ἐν αὐτῇ πνεῦμα νοερὸν, ἅγιον,
μονογενὲς, πολυμερὲς, λεπτὸν, εὐκίνητον, τρα-
νὸν, ἀμόλυντον, σαφὲς, ἀπήμαντον, Φιλάγα-
θον, ὀξὺ, ἀκώλυτον, εὐεργετικὸν.

23. Φιλάνθρωπον, βέβαιον, ἀσφαλὲς, ἀ-
μέριμνον, παντοδύναμον, πανεπίσκοπον, καὶ
διὰ πάντων χωροῦν πνευμάτων νοερῶν, καθα-
ρῶν, λεπτοτάτων.

24. πάσης γὰρ κινήσεως κινητικώτερον Σο-
φία. διήκει δὲ καὶ χωρεῖ διὰ πάντων διὰ τὴν
καθαρότητα.

25. ἀτμὶς γάρ ἐστι τῆς τοῦ θεοῦ δυνάμεως,
καὶ ἀπόρροια τῆς τοῦ παντοκράτορος δόξης εἰλι-
κρινής. διὰ τοῦτο οὐδὲν μεμιαμμένον εἰς αὐτὴν
παρεμπίπτει.

26. ἀπαύγασμα γάρ ἐστι Φωτὸς ἀϊδίου, καὶ

ἔσοπτρον ἀκηλίδωτον τῆς τοῦ θεοῦ ἐνεργείας, καὶ εἰκὼν τῆς ἀγαθότητος αὐτοῦ.

27. μία δὲ οὖσα πάντα δύναται, καὶ μένουσα ἐν αὐτῇ τὰ πάντα καινίζει, καὶ κατὰ γενεὰς εἰς ψυχὰς ὁσίας μεταβαίνουσα, φίλους θεοῦ, καὶ προφήτας κατασκευάζει.

28. οὐδένα γὰρ ἀγαπᾷ θεὸς, εἰ μὴ τὸν σοφίᾳ συνοικοῦντα.

29. ἔστι γὰρ αὕτη εὐπρεπεστέρα ἡλίου, καὶ ὑπὲρ πᾶσαν ἄστρων θέσιν, φωτὶ συγκρινομένη εὑρίσκεται προτέρα.

30. τοῦτο μὲν γὰρ διαδέχεται νὺξ, Σοφίας δὲ οὐ κατισχύει κακία.

## CAPUT VIII.

1. Διατείνει δὲ ἀπὸ πέρατος εἰς πέρας εὐρώστως, καὶ διοικεῖ τὰ πάντα χρηστῶς.

2. ταύτην ἐφίλησα καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ, καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς.

3. εὐγένειαν δοξάζει, συμβίωσιν θεοῦ ἔχουσα, καὶ ὁ πάντων δεσπότης ἠγάπησεν αὐτήν.

4. μύστις γάρ ἐστι τῆς τοῦ θεοῦ ἐπιστήμης, καὶ αἱρετὶς τῶν ἔργων αὐτοῦ.

5. εἰ δὲ πλοῦτός ἐστιν ἐπιθυμητὸν κτῆμα ἐν βίῳ, τί Σοφίας πλουσιώτερον, τῆς τὰ πάντα ἐργαζομένης;

6. εἰ δὲ φρόνησις ἐργάζεται, τίς αὐτῆς τῶν ὄντων μᾶλλόν ἐστι τεχνίτης;

7. καὶ εἰ δικαιοσύνην ἀγαπᾷ τις, οἱ πόνοι ταύτης εἰσὶν ἀρεταί.

σωφροσύνην γὰρ καὶ φρόνησιν ἐκδιδάσκει. δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις.

8. εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα, καὶ τὰ μέλλοντα εἰκάζειν, ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων.

9. ἔκρινα τοίνυν ταύτην ἀγαγέσθαι πρὸς συμβίωσιν, εἰδὼς ὅτι ἔσται μοι σύμβουλος ἀγαθῶν, καὶ παραίνεσις φροντίδων καὶ λύπης.

10. ἕξει δι᾽ αὐτὴν δόξαν ἐν ὄχλοις, καὶ τιμὴν παρὰ πρεσβυτέροις ὁ νέος.

11. ὀξὺς εὑρεθήσομαι ἐν κρίσει, καὶ ἐν ὄψει δυναστῶν θαυμασθήσομαι.

12. σιγῶντά με περιμενοῦσι, καὶ φθεγγομένῳ προσέξουσι, καὶ λαλοῦντος ἐπιπλεῖον χεῖρα ἐπιθήσουσιν ἐπὶ στόμα αὐτῶν.

13. ἕξω δι᾽ αὐτὴν ἀθανασίαν, καὶ μνήμην αἰώνιον τοῖς μετ᾽ ἐμὲ ἀπολείψω.

14. διοικήσω λαοὺς, καὶ ἔθνη ὑποταγήσεταί μοι.

15. φοβηθήσονταί με ἀκούσαντες τύραννοι φρικτοὶ, ἐν πλήθει φανοῦμαι ἀγαθὸς, καὶ ἐν πολέμῳ ἀνδρεῖος.

16. εἰσελθὼν εἰς τὸν οἶκόν μου προσαναπαύσομαι αὐτῇ. οὐ γὰρ ἔχει πικρίαν ἡ συναναστροφὴ αὐτῆς, οὐδὲ ὀδύνην ἡ συμβίωσις αὐτῆς, ἀλλὰ εὐφροσύνην καὶ χαράν.

17. ταῦτα λογισάμενος ἐν ἐμαυτῷ, καὶ φροντίσας ἐν καρδίᾳ μου, ὅτι ἐστὶν ἀθανασία ἐν συγγενείᾳ σοφίας.

18. καὶ ἐν φιλίᾳ αὐτῆς τέρψις ἀγαθὴ, καὶ ἐν πόνοις χειρῶν αὐτῆς πλοῦτος ἀνεκλιπὴς, καὶ ἐν συγγυμνασίᾳ ὁμιλίας αὐτῆς φρόνησις, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς.

19. περιήειν ζητῶν, ὅπως λάβω αὐτὴν εἰς ἐμαυτόν.

20. παῖς δὲ ἤμην εὐφυὴς, ψυχῆς τε ἔλαχον

ἀγα-

ἀγαθῆς, μᾶλλον δὲ ἀγαθὸς ὢν ἦλθον εἰς σῶμα ἀμίαντον.

21. γνοὺς δὲ ὅτι οὐκ ἄλλως ἔσομαι ἐγκρατὴς, ἐὰν μὴ ὁ θεὸς δῷ, καὶ τοῦτο δ' ἦν φρονήσεως τὸ εἰδέναι τίνος ἡ χάρις, ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης τῆς καρδίας μου.

## CAPVT IX.

1. Θεὲ πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου.

2. καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων.

3. καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, καὶ ἐν εὐθύτητι ψυχῆς κρίσιν κρίνῃ.

4. δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον Σοφίαν, καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σου.

5. ὅτι ἐγὼ δοῦλος σὸς, καὶ υἱὸς τῆς παιδίσκης σου, ἄνθρωπος ἀσθενὴς καὶ ὀλιγοχρόνιος, καὶ ἐλάσσων ἐν συνέσει κρίσεως καὶ νόμων.

6. κἂν γάρ τις ᾖ τέλειος ἐν υἱοῖς ἀνθρώπων, τῆς ἀπὸ σοῦ σοφίας ἀπούσης, εἰς οὐδὲν λογισθήσεται.

7. σύ με προείλω βασιλέα λαοῦ σου, καὶ δικαστὴν υἱῶν σου, καὶ θυγατέρων.

8. εἶπας, οἰκοδομῆσαι ναὸν ἐν ὄρει ἁγίῳ σου, καὶ ἐν πόλει κατασκηνώσεώς σου θυσιαστήριον, μίμημα σκηνῆς ἁγίας, ἣν προητοίμασας ἀπ' ἀρχῆς.

9. καὶ μετὰ σοῦ ἡ σοφία ἡ εἰδυῖα τὰ ἔργα σου, καὶ παροῦσα ὅτε ἐποίεις τὸν κόσμον, καὶ ἐπισταμένη τί ἀρεστὸν ἐν ὀφθαλμοῖς σου, καὶ τί εὐθὲς ἐν ἐντολαῖς σου.

10. ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίων οὐρανῶν, καὶ ἀπὸ θρόνου δόξης σου πέμψον αὐτήν, ἵνα συμπαροῦσά μοι κοπιάσῃ, καὶ γνῶ τί εὐάρεστόν ἐστι παρά σοι.

11. οἶδε γὰρ ἐκείνη πάντα, καὶ συνιεῖ, καὶ ὁδηγήσει με ἐν ταῖς πράξεσί μου σωφρόνως, καὶ φυλάξει με ἐν τῇ δόξῃ αὐτῆς.

12. καὶ ἔσται προσδεκτὰ τὰ ἔργα μου, καὶ διακρινῶ τὸν λαόν σου δικαίως, καὶ ἔσομαι ἄξιος θρόνων πατρός μου.

13. τίς γὰρ ἄνθρωπος γνώσεται βουλὴν θεοῦ; ἢ τίς ἐνθυμηθήσεται τί θέλει ὁ θεός;

14. λογισμοὶ γὰρ θνητῶν δειλοί, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι ἡμῶν.

15. φθαρτὸν γὰρ σῶμα βαρύνει ψυχήν, καὶ βρίθει τὸ γεῶδες σκῆνος νοῦν πολυφρόντιδα.

16. καὶ μόλις εἰκάζομεν τὰ ἐπὶ γῆς, καὶ τὰ ἐν
χερσὶν εὑρίσκομεν μετὰ πόνου. τὰ δὲ ἐν οὐρανοῖς τίς
ἐξιχνίασε;
17. βουλὴν δέ σου τίς ἔγνω, εἰ μὴ σὺ δέδωκας
σοφίαν, καὶ ἔπεμψας τὸ ἅγιόν σου πνεῦμα ἀπὸ
ὑψίστων;
18. καὶ οὕτως διωρθώθησαν αἱ τρίβοι τῶν ἐπὶ
γῆς, καὶ τὰ ἀρεστά σου ἐδιδάχθησαν ἄνθρωποι, καὶ
τῇ σοφίᾳ ἐσώθησαν.

## CAPUT X.

1. Αὕτη πρωτόπλαστον πατέρα κόσμου,
μόνον κτισθέντα, διεφύλαξε.
2. καὶ ἐξείλατο αὐτὸν ἐκ παραπτώματος
ἰδίου, ἔδωκέ τε αὐτῷ ἰσχὺν κρατῆσαι ἁπάντων.
3. ἀποστὰς δὲ ἀπ' αὐτῆς ἄδικος ἐν ὀργῇ αὐ-
τοῦ, ἀδελφοκτόνοις συναπώλετο θυμοῖς.
4. δι' ὃν κατακλυζομένην γῆν πάλιν διέσω-
σε σοφία, δι' εὐτελοῦς ξύλου τὸν δίκαιον κυβερ-
νήσασα.
5. αὕτη καὶ ἐν ὁμονοίᾳ πονηρίας ἐθνῶν συγ-
χυθέντων εὗρε τὸν δίκαιον, καὶ ἐτήρησεν αὐτὸν ἄ-
μεμπτον θεῷ, καὶ ἐπὶ τέκνου σπλάγχνοις ἰσχυρὸν
ἐφύλαξεν.

6. αὕτη δίκαιον ἐξαπολλυμένων ἀσεβῶν ἐῤ-
ῥύσατο, φυγόντα καταβάσιον πῦρ πενταπό-
λεως.

7. ἧς ἔτι μαρτύριον τῆς πονηρίας καπνιζο-
μένη καθέστηκε χέρσος, καὶ ἀτελέσιν ὥραις καρ-
ποφοροῦντα φυτὰ, ἀπιστούσης ψυχῆς μνημεῖον
ἑστηκυῖα στήλη ἁλός.

8. Σοφίαν γὰρ παροδεύσαντες, οὐ μόνον ἐ-
βλάβησαν τοῦ μὴ γνῶναι τὰ καλὰ, ἀλλὰ καὶ τῆς
ἀφροσύνης ἀπέλιπον τῷ βίῳ μνημόσυνον, ἵνα ἐν
οἷς ἐσφάλησαν, μηδὲ λαθεῖν δυνηθῶσιν.

9. Σοφία δὲ τοὺς θεραπεύσαντας αὐτὴν ἐκ
πόνων ἐῤῥύσατο.

10. αὕτη φυγάδα ὀργῆς ἀδελφοῦ δίκαιον
ὡδήγησεν ἐν τρίβοις εὐθείαις, ἔδειξεν αὐτῷ βα-
σιλείαν θεοῦ, καὶ ἔδωκεν αὐτῷ γνῶσιν ἁγίων,
εὐπόρησεν αὐτὸν ἐν μόχθοις, καὶ ἐπλήθυνε τοὺς
πόνους αὐτοῦ.

11. ἐν πλεονεξίᾳ κατισχυόντων αὐτὸν παρέ-
στη, καὶ ἐπλούτισεν αὐτόν.

12. διεφύλαξεν αὐτὸν ἀπὸ ἐχθρῶν, καὶ ἀπὸ
ἐνεδρευόντων ἠσφαλίσατο, καὶ ἀγῶνα ἰσχυρὸν ἐ-
βράβευσεν αὐτῷ, ἵνα γνῷ ὅτι

παν-

παντὸς δυνατωτέρα ἐστὶν εὐσέβεια.

13. αὕτη πραθέντα δίκαιον οὐκ ἐγκατέλιπεν, ἀλλὰ ἐξ ἁμαρτίας ἐῤῥύσατο αὐτόν.

14. συγκατέβη αὐτῷ εἰς λάκκον, καὶ ἐν δεσμοῖς οὐκ ἀφῆκεν αὐτὸν, ἕως ἤνεγκεν αὐτῷ σκῆπτρα βασιλείας, καὶ ἐξουσίαν τυραννούντων αὐτοῦ, ψευδεῖς τε ἔδειξε τοὺς μωμησαμένους αὐτὸν, καὶ ἔδωκεν αὐτῷ δόξαν αἰώνιον.

15. αὕτη λαὸν ὅσιον, καὶ σπέρμα ἄμεμπτον ἐῤῥύσατο ἐξ ἔθνους θλιβόντων.

16. εἰσῆλθεν εἰς ψυχὴν θεράποντος Κυρίου, καὶ ἀντέστη βασιλεῦσι φοβεροῖς, ἐν τέρασι καὶ σημείοις.

17. ἀπέδωκεν ὁσίοις μισθὸν κόπων αὐτῶν, ὡδήγησεν αὐτοὺς ἐν ὁδῷ θαυμαστῇ, καὶ ἐγένετο αὐτοῖς εἰς σκέπην ἡμέρας, καὶ εἰς φλόγα ἄστρων τὴν νύκτα.

18. διεβίβασεν αὐτοὺς θάλασσαν ἐρυθρὰν, καὶ διήγαγεν αὐτοὺς δι' ὕδατος πολλοῦ.

19. τοὺς δὲ ἐχθροὺς αὐτῶν κατέκλυσεν, καὶ ἐκ βάθους ἀβύσσου ἀνέβρασεν αὐτούς.

20. διὰ τοῦτο δίκαιοι ἐσκύλευσαν ἀσεβεῖς, καὶ ὕμνησαν, Κύριε, τὸ ὄνομα τὸ ἅγιόν σου, τήν τε ὑπέρμαχόν σου χεῖρα ᾔνεσαν ὁμοθυμαδόν.

21. ὅτι ἡ Σοφία ἤνοιξε στόμα κωφῶν, καὶ
γλώσσας νηπίων ἔθηκε τρανάς.

## CAPVT XI.

1. Εὐώδωσε τὰ ἔργα αὐτῶν ἐν χειρὶ προ-
φήτου ἁγίου.
2. διώδευσαν ἔρημον ἀοίκητον, καὶ ἐν ἀβά-
τοις ἔπηξαν σκηνάς.
3. ἀντέστησαν πολεμίοις, καὶ ἠμύναντο ἐχθρούς.
4. ἐδίψησαν καὶ ἐπεκαλέσαντό σε, καὶ ἐδόθη αὐ-
τοῖς ἐκ πέτρας ἀκροτόμου ὕδωρ, καὶ ἴαμα δίψης
ἐκ λίθου σκληροῦ.
5. δι' ὧν γὰρ ἐκολάσθησαν οἱ ἐχθροὶ αὐτῶν,
6. διὰ τούτων αὐτοὶ ἀποροῦντες εὐεργετή-
θησαν.
7. ἀντὶ μὲν πηγῆς ἀενάου ποταμοῦ αἵματι
λυθρώδει ταραχθέντες,
8. εἰς ἔλεγχον νηπιοκτόνου διατάγματος,
ἔδωκας αὐτοῖς δαψιλὲς ὕδωρ ἀνελπίστως.
9. δείξας διὰ τοῦ τότε δίψους πῶς τοὺς ὑπεναν-
τίους ἐκόλασας.
10. ὅτε γὰρ ἐπειράσθησαν, καίπερ ἐν ἐλέει
παιδευόμενοι, ἔγνωσαν πῶς ἐν ὀργῇ κρινόμενοι
ἀσεβεῖς ἐβασανίζοντο.

11. τούτους μὲν γὰρ ὡς πατὴρ νουθετῶν ἐδοκίμασας, ἐκείνους δὲ ὡς ἀπότομος βασιλεὺς καταδικάζων ἐξήτασας.

12. καὶ ἀπόντες δὲ καὶ παρόντες ὁμοίως ἐτρύχοντο.

13. διπλῆ γὰρ αὐτοὺς ἔλαβε λύπη, καὶ στεναγμὸς μνημῶν τῶν παρελθουσῶν.

14. ὅτε γὰρ ἤκουσαν διὰ τῶν ἰδίων κολάσεων εὐεργετουμένους αὐτούς, ἤσθοντο τοῦ Κυρίου.

15. ὃν γὰρ ἐν ἐκθέσει πάλαι ῥιφέντα ἀπεῖπον χλευάζοντες, ἐπὶ τέλει τῶν ἐκβάσεων ἐθαύμασαν, οὐχ ὅμοια δικαίοις διψήσαντες.

16. ἀντὶ δὲ λογισμῶν ἀσυνέτων ἀδικίας αὐτῶν, ἐν οἷς πλανηθέντες ἐθρήσκευον ἄλογα ἑρπετὰ, καὶ κνώδαλα εὐτελῆ, ἐπαπέστειλας αὐτοῖς πλῆθος ἀλόγων ζώων εἰς ἐκδίκησιν.

17. ἵνα γνῶσιν, ὅτι
δι' ὧν τις ἁμαρτάνει, διὰ τούτων κολάζεται.

18. οὐ γὰρ ἠπόρει ἡ παντοδύναμός σου χεὶρ, καὶ κτίσασα τὸν κόσμον ἐξ ἀμόρφου ὕλης, ἐπιπέμψαι αὐτοῖς πλῆθος ἄρκτων, ἢ θρασεῖς λέοντας.

19. ἢ νεοκτίστους, θυμοῦ πλήρεις, θῆρας ἀγνώστους, ἤτοι πυρπνόον φυσῶντας ἄσθμα, ἢ βρόμους

λικμω-

λικμωμένου καπνοῦ, ἢ δεινοὺς ἀπ' ὀμμάτων σπινθῆρας ἀστράπτοντας.

20. ὧν οὐ μόνον ἡ βλάβη ἠδύνατο συνεκτρῖψαι αὐτοὺς, ἀλλὰ καὶ ἡ ὄψις ἐκφοβήσασα διολέσαι.

21. καὶ χωρὶς δὲ τούτων, ἑνὶ πνεύματι πεσεῖν ἠδύναντο, ὑπὸ τῆς δίκης διωχθέντες, καὶ λικμηθέντες ὑπὸ πνεύματος δυνάμεώς σου, ἀλλὰ πάντα μέτρῳ, καὶ ἀριθμῷ, καὶ σταθμῷ διέταξας.

22. τὸ γὰρ μεγάλως ἰσχύειν πάρεστι πάντοτε, καὶ κράτει βραχίονός σου τίς ἀντιστήσεται;

23. ὅτι ὡς ῥοπὴ ἐκ πλαστίγγων ὅλος ὁ κόσμος ἐναντίον σου, καὶ ὡς ῥανὶς δρόσου ὀρθρινὴ κατελθοῦσα ἐπὶ γῆν.

24. ἐλεεῖς δὲ πάντας, ὅτι πάντα δύνασαι, καὶ παρορᾷς ἁμαρτήματα ἀνθρώπων εἰς μετάνοιαν.

25. ἀγαπᾷς γὰρ τὰ ὄντα πάντα, καὶ οὐδὲν βδελύσσῃ, ὧν ἐποίησας. οὐδὲ γὰρ ἂν μισῶν τι κατεσκεύασας.

26. πῶς δὲ ἔμεινεν ἄν τι, εἰ μὴ σὺ ἠθέλησας; ἢ τὸ μὴ κληθὲν ὑπό σου διετηρήθη;

27. φείδῃ δὲ πάντων, ὅτι σά ἐστι, Δέσποτα φιλόψυχε.

# CAPUT XII.

1. Τὸ γὰρ ἄφθαρτόν σου πνεῦμά ἐστιν ἐν πᾶσιν.

2. διὸ τοὺς παραπίπτοντας κατ᾽ ὀλίγον ἐλέγχεις, καὶ ἐν οἷς ἁμαρτάνουσιν ὑπομνημίσκων νουθετεῖς, ἵνα ἀπαλλαγέντες τῆς κακίας πιστεύσωσιν ἐπὶ σε, Κύριε.

3. καὶ γὰρ τοὺς παλαιοὺς οἰκήτορας τῆς ἁγίας σου γῆς μισήσας,

4. ἐπὶ τῷ ἔχθιστα πράσσειν ἔργα φαρμακειῶν, καὶ τελετὰς ἀνοσίους.

5. τέκνων τε φονέας ἀνελεήμονας, καὶ σπλαγχνοφάγους ἀνθρωπίνων σαρκῶν, καὶ θοίνην αἵματος ἐκ μύσους, μύστας τε θιασμοῦ.

6. καὶ αὐθέντας γονεῖς ψυχῶν ἀβοηθήτων ἐβουλήθης ἀπολέσαι διὰ χειρῶν πατέρων ἡμῶν.

7. ἵνα ἀξίαν ἀποικίαν δέξηται θεοῦ παίδων, ἡ παρά σοι πασῶν τιμιοτάτη γῆ.

8. ἀλλὰ καὶ τούτων ὡς ἀνθρώπων ἐφείσω, ἀπέστειλάς τε προδρόμους τοῦ στρατοπέδου σου σφῆκας, ἵνα αὐτοὺς καταβραχὺ ἐξολοθρεύσωσιν.

9. οὐκ ἀδυνατῶν ἐν παρατάξει ἀσεβεῖς δικαίοις ὑποχειρίους δοῦναι, ἢ θηρίοις δεινοῖς, ἢ λόγῳ ἀποτόμῳ ὑφ᾽ ἓν ἐκτρίψαι.

10. κρίνων δὲ καταβραχὺ ἐδίδους τόπον μετανοίας, οὐκ ἀγνοῶν, ὅτι πονηρὰ ἡ γένεσις αὐτῶν, καὶ ἔμφυτος ἡ κακία αὐτῶν, καὶ ὅτι οὐ μὴ ἀλλαγῇ ὁ λογισμὸς αὐτῶν εἰς τὸν αἰῶνα.

11. σπέρμα γὰρ ἦν κατηραμένον ἀπ᾽ ἀρχῆς. οὐδὲ εὐλαβούμενός τινα ἐφ᾽ οἷς ἡμάρτανον, ἄδειαν ἐδίδους.

12. τίς γὰρ ἐρεῖ, τί ἐποίησας; ἢ τίς ἀντιστήσεται τῷ κρίματί σου. τίς δὲ ἐγκαλέσει σοι κατὰ ἐθνῶν ἀπολωλότων, ἃ σὺ ἐποίησας; ἢ τίς εἰς κατάστασίν σοι ἐλεύσεται ἔκδικος κατὰ ἀδίκων ἀνθρώπων;

13. οὔτε γὰρ θεός ἐστι πλὴν σοῦ, ᾧ μέλει περὶ πάντων, ἵνα δείξῃς, ὅτι οὐκ ἀδίκως ἔκρινας.

14. οὔτε βασιλεὺς ἢ τύραννος ἀντοφθαλμῆσαι δυνήσεταί σοι, περὶ ὧν ἐκόλασας.

15. Δίκαιος δὲ ὤν, δικαίως τὰ πάντα διέπεις, αὐτὸν τὸν μὴ ὀφείλοντα κολασθῆναι, καταδικάσαι ἀλλότριον ἡγούμενος τῆς σῆς δυνάμεως.

16. ἡ γὰρ ἰσχύς σου δικαιοσύνης ἀρχὴ, καὶ τὸ πάντων σε δεσπόζειν, πάντων φείδεσθαι ποιεῖ.

17. ἰσχὺν ἐνδείκνυσαι, ἀπιστούμενος ἐπὶ δυνάμεως τελειότητι, καὶ ἐν τοῖς εἰδόσι τὸ θράσος ἐξελέγχεις.

18. σὺ δὲ δεσπόζων ἰσχύος ἐν ἐπιεικείᾳ κρίνεις, καὶ μετὰ πολλῆς φειδοῦς διοικεῖς ἡμᾶς.

πάρεστι γάρ σοι, ὅταν θέλῃς, τὸ δύνασθαι.

19. ἐδίδαξας δέ σου τὸν λαὸν διὰ τῶν τοιούτων ἔργων, ὅτι δεῖ δίκαιον εἶναι φιλάνθρωπον, καὶ εὐέλπιδας ἐποίησας τοὺς υἱοὺς σου, ὅτι δίδως ἐπὶ ἁμαρτήμασι μετάνοιαν.

20. εἰ γὰρ ἐχθροὺς παίδων σου, καὶ ὀφειλομένους θανάτῳ μετὰ τοσαύτης ἐτιμώρησας προσευχῆς, καὶ δεήσεως, δοὺς χρόνους καὶ τόπον, δι' ὧν ἀπαλλαγῶσι τῆς κακίας.

21. μετὰ πόσης ἀκριβείας ἔκρινας τοὺς υἱοὺς σου, ὧν τοῖς πατεράσιν ὅρκους καὶ συνθήκας ἔδωκας ἀγαθῶν ὑποσχέσεων;

22. ἡμᾶς οὖν παιδεύων, τοὺς ἐχθροὺς ἡμῶν ἐν μυριότητι μαστιγοῖς, ἵνα σοῦ τὴν ἀγαθότητα μεριμνῶμεν κρίνοντες, κρινόμενοι δὲ προσδοκῶμεν ἔλεος.

23. ὅθεν καὶ τοὺς ἐν ἀφροσύνῃ ζωῆς βιώσαντας ἀδίκως, διὰ τῶν ἰδίων ἐβασάνισας βδελυγμάτων.

24. καὶ γὰρ τῶν πλάνης ὁδῶν μακρότερον ἐπλανήθησαν, θεοὺς ὑπολαμβάνοντες καὶ τὰ ἐν ζώοις τῶν ἐχθρῶν ἄτιμα, νηπίων δίκην ἀφρόνων ψευσθέντες.

25. διὰ τοῦτο ὡς παισὶν ἀλογίστοις τὴν κρίσιν εἰς ἐμπαιγμὸν ἔπεμψας.

26. οἱ δὲ παιγνίοις ἐπιτιμήσεως μὴ νουθετηθέντες, ἀξίαν θεοῦ κρίσιν πειράσουσιν.

27. ἐφ' οἷς γὰρ αὐτοὶ πάσχοντες ἠγανάκτουν, ἐπὶ τούτοις οὓς ἐδόκουν θεοὺς, ἐν αὐτοῖς κολαζόμενοι ἰδόντες ὃν πάλαι ἠρνοῦντο εἰδέναι, θεὸν ἐπέγνωσαν ἀληθῆ. διὸ καὶ τὸ τέρμα τῆς καταδίκης ἐπ' αὐτοὺς ἐπῆλθεν.

## CAPVT XIII.

1. Μάταιοι μὲν γὰρ πάντες ἄνθρωποι φύσει, οἷς παρῆν θεοῦ ἀγνωσία, καὶ ἐκ τῶν ὁρωμένων ἀγαθῶν οὐκ ἴσχυσαν εἰδέναι τὸν ὄντα, οὔτε τοῖς ἔργοις προσχόντες ἐπέγνωσαν τὸν τεχνίτην.

2. ἀλλ' ἢ πῦρ, ἢ πνεῦμα, ἢ ταχινὸν ἀέρα, ἢ κύκλον ἄστρων, ἢ βίαιον ὕδωρ, ἢ φωστῆρας οὐρανοῦ, πρυτάνεις κόσμου θεοὺς ἐνόμισαν.

3. ὧν εἰ μὲν τῇ καλλονῇ τερπόμενοι, ταῦτα θεοὺς ὑπελάμβανον, γνώτωσαν πόσῳ τούτων ὁ δεσπότης ἐστὶ βελτίων. ὁ γὰρ τοῦ κάλλους γενεσιάρχης ἔκτισεν αὐτά.

4. εἰ δὲ δυνάμει καὶ ἐνεργείᾳ ἐκπλαγέντες, νοη-

νοησάτωσαν ἀπ' αὐτῶν πόσῳ ὁ κατασκευάσας αὐτὰ δυνατώτερός ἐστι.

5. ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων, ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται.

6. ἀλλ' ὅμως ἐπὶ τούτοις ἐστὶ μέμψις ὀλίγη. καὶ γὰρ αὐτοὶ τάχα πλανῶνται, θεὸν ζητοῦντες καὶ θέλοντες εὑρεῖν.

7. ἐν γὰρ τοῖς ἔργοις αὐτοῦ ἀναστρεφόμενοι διερευνῶσι, καὶ πείθονται τῇ ὄψει, ὅτι καλὰ τὰ βλεπόμενα.

8. πάλιν δ' οὐδ' αὐτοὶ συγγνωστοί.

9. εἰ γὰρ τοσοῦτον ἴσχυσαν εἰδέναι, ἵνα δύνωνται στοχάσασθαι τὸν αἰῶνα, τὸν τούτων δεσπότην πῶς τάχιον οὐχ εὗρον;

10. ταλαίπωροι δὲ καὶ ἐν νεκροῖς αἱ ἐλπίδες αὐτῶν, οἵτινες ἐκάλεσαν θεοὺς ἔργα χειρῶν ἀνθρώπων, χρυσὸν, καὶ ἄργυρον, τέχνης ἐμμελέτημα, καὶ ἀπεικάσματα ζώων, ἢ λίθον ἄχρηστον, χειρὸς ἔργον ἀρχαίας.

11. εἰ δὲ καί τις ὑλοτόμος τέκτων κεκίνηται φυτὸν ἐκπρίσας, περιέξυσεν εὐμαθῶς πάντα τὸν φλοιὸν αὐτοῦ, καὶ τεχνησάμενος εὐπρεπῶς κατεσκεύασε χρήσιμον σκεῦος εἰς ὑπηρεσίαν ζωῆς.

12. τὰ δὲ ἀποβλήματα τῆς ἐργασίας εἰς ἑτοιμασίαν τροφῆς ἀναλώσας ἐνεπλήσθη.

13. τὸ δὲ ἐξ αὐτῶν ἀπόβλημα εἰς οὐδὲν εὔχρηστον, ξύλον σκολιὸν, καὶ ὄζοις συμπεφυκὸς, λαβὼν ἔγλυψεν ἐν ἐπεμελείᾳ ἀργίας αὐτοῦ, καὶ ἐμπειρίᾳ συνέσεως ἐτύπωσεν αὐτὸ, ἀπείκασεν αὐτὸ εἰκόνι ἀνθρώπου.

14. ἢ ζώῳ τινὶ εὐτελεῖ ὡμοίωσεν αὐτὸ, καταχρίσας μίλτῳ καὶ φύκει ἐρυθρήνας χρόαν αὐτοῦ, καὶ πᾶσαν κηλῖδα τὴν ἐν αὐτῷ καταχρίσας.

15. καὶ ποιήσας αὐτῷ αὐτοῦ ἄξιον οἴκημα, ἐν τοίχῳ ἔθηκεν αὐτὸ, ἀσφαλισάμενος σιδήρῳ.

16. ἵνα μὲν οὖν μὴ καταπέσῃ προενόησεν αὐτοῦ, εἰδὼς ὅτι ἀδυνατεῖ ἑαυτῷ βοηθῆσαι. καὶ γάρ ἐστιν εἰκὼν, καὶ χρείαν ἔχει βοηθείας.

17. περὶ δὲ κτημάτων, καὶ γάμων αὐτοῦ, καὶ τέκνων προσευχόμενος, οὐκ αἰσχύνεται τῷ ἀψύχῳ προσλαλῶν.

18. καὶ περὶ μὲν ὑγιείας τὸ ἀσθενὲς ἐπικαλεῖται, περὶ δὲ ζωῆς τὸν νεκρὸν ἀξιοῖ, περὶ δὲ ἐπικουρίας τὸν ἀπειρότατον ἱκετεύει.

19. περὶ δὲ ὁδοιπορίας, τὸ μηδὲ βάσει χρῆσθαι δυνάμενον, περὶ δὲ πορισμοῦ καὶ ἐργασίας,

καὶ

καὶ χειρῶν ἐπιτυχίας, τὸν ἀδρανέστατον ταῖς χερσὶν εὐδράνειαν αἰτεῖται.

## CAPUT XIV.

1. Πλοῦν τις πάλιν στελλόμενος, καὶ ἄγρια μέλλων διοδεύειν κύματα, τοῦ φέροντος αὐτὸν πλοίου σαθρότερον ξύλον ἐπιβοᾶται.

2. ἐκεῖνο μὲν γὰρ ὄρεξις πορισμῶν ἐπενόησε, τεχνῖτις δὲ Σοφία κατεσκεύασε.

3. ἡ δὲ σὴ, πάτερ, διακυβερνᾷ πρόνοια. ὅτι ἔδωκας καὶ ἐν θαλάσσῃ ὁδὸν, καὶ ἐν κύμασι τρίβον ἀσφαλῆ.

4. δεικνὺς ὅτι δύνασαι ἐκ παντὸς σώζειν, ἵνα κἂν ἄνευ τέχνης τις ἐπιβῇ.

5. θέλεις δὲ μὴ ἀργὰ εἶναι τὰ τῆς σοφίας σου ἔργα. διὰ τοῦτο καὶ ἐλαχίστῳ ξύλῳ πιστεύουσιν ἄνθρωποι ψυχὰς, καὶ διελθόντες κλύδωνα σχεδίᾳ διεσώθησαν.

6. καὶ ἀρχῆς γὰρ ἀπολλυμένων ὑπερηφάνων γιγάντων, ἡ ἐλπὶς τοῦ κόσμου ἐπὶ σχεδίας καταφυγοῦσα, ἀπέλιπεν αἰῶνι σπέρμα γενέσεως, τῇ σῇ κυβερνηθεῖσα χειρί.

7. εὐλόγηται γὰρ ξύλον, δι' οὗ γίνεται δικαιοσύνη.

8. τὸ δὲ χειροποίητον ἐπικατάρατον αὐτὸ, καὶ ὁ ποιήσας αὐτό. ὅτι ὁ μὲν εἰργάζετο, τὸ δὲ φθαρτὸν θεὸς ὠνομάσθη.

9. ἐν ἴσῳ γὰρ μισητὰ θεῷ, καὶ ὁ ἀσεβῶν, καὶ ἡ ἀσέβεια αὐτοῦ.

10. καὶ γὰρ τὸ πραχθὲν σὺν τῷ δράσαντι κολασθήσεται.

11. διὰ τοῦτο καὶ ἐν εἰδώλοις ἐθνῶν ἐπισκοπὴ ἔσται. ὅτι ἐν κτίσματι θεοῦ εἰς βδέλυγμα ἐγενήθησαν, καὶ εἰς σκάνδαλα ψυχαῖς ἀνθρώπων, καὶ εἰς παγίδα ποσὶν ἀφρόνων.

12. ἀρχὴ γὰρ πορνείας ἐπίνοια εἰδώλων, εὕρεσις δὲ αὐτῶν φθορὰ ζωῆς.

13. οὔτε γὰρ ἦν ἀπ᾽ ἀρχῆς, οὔτε εἰς τὸν αἰῶνα ἔσται.

14. κενοδοξίᾳ γὰρ ἀνθρώπων εἰσῆλθεν εἰς τὸν κόσμον, καὶ διὰ τοῦτο σύντομον αὐτῶν τέλος ἐπενοήθη.

15. ἀώρῳ γὰρ πένθει τρυχόμενος πατὴρ, τοῦ ταχέως ἀφαιρεθέντος τέκνου εἰκόνα ποιήσας, τὸν τότε νεκρὸν ἄνθρωπον, νῦν ὡς θεὸν ἐτίμησε, καὶ παρέδωκε τοῖς ὑποχειρίοις μυστήρια, καὶ τελετάς.

16. εἶτα ἐν χρόνῳ κρατηθὲν τὸ ἀσεβὲς ἔθος,

ὡς νόμος ἐφυλάχθη, καὶ τυράννων ἐπιταγαῖς ἐθρησκεύετο τὰ γλυπτά.

17. οὓς ἐν ὄψει μὴ δυνάμενοι τιμᾶν ἄνθρωποι, διὰ τὸ μακρὰν οἰκεῖν, τὴν πόῤῥωθεν ὄψιν ἀνατυπωσάμενοι, ἐμφανῆ εἰκόνα τοῦ τιμωμένου βασιλέως ἐποίησαν, ἵνα τὸν ἀπόντα, ὡς παρόντα, κολακεύωσι διὰ τῆς σπουδῆς.

18. εἰς ἐπίτασιν δὲ θρησκείας καὶ τοὺς ἀγνοοῦντας ἡ τοῦ τεχνίτου προετρέψατο φιλοτιμία.

19. ὁ μὲν γὰρ τάχα τῷ κρατοῦντι βουλόμενος ἀρέσαι, ἐξεβιάσατο τῇ τέχνῃ τὴν ὁμοιότητα ἐπὶ τὸ κάλλιον.

20. τὸ δὲ πλῆθος ἐφελκόμενον διὰ τὸ εὔχαρι τῆς ἐργασίας, τὸν πρὸ ὀλίγου τιμηθέντα ἄνθρωπον, νῦν σέβασμα ἐλογίσατο.

21. καὶ τοῦτο ἐγένετο τῷ βίῳ εἰς ἔνεδρον, ὅτι συμφορᾷ, ἢ τυραννίδι δουλεύσαντες ἄνθρωποι, τὸ ἀκοινώνητον ὄνομα λίθοις καὶ ξύλοις περιέθηκαν.

22. εἶτα οὐκ ἤρκεσε τὸ πλανᾶσθαι περὶ τοῦ θεοῦ γνῶσιν, ἀλλὰ καὶ ἐν μεγάλῳ ζῶντες ἀγνοίας πολέμῳ, τὰ τοσαῦτα κακὰ εἰρήνην προσαγορεύουσιν.

23. ἢ γὰρ τεκνοφόνους τελετὰς, ἢ κρύφια

μυστήρια, ἢ ἐμμανεῖς ἐξ ἄλλων θεσμῶν κώμους ἄγοντες.

24. οὔτε βίους, οὔτε γάμους καθαροὺς ἔτι φυλάσσουσιν, ἕτερος δὲ ἕτερον ἢ λοχῶν ἀναιρεῖ, ἢ νοθεύων ὀδυνᾷ.

25. πάντας δὲ ἐπιμὶξ ἔχει αἷμα, καὶ φόνος, κλοπὴ καὶ δόλος, φθορὰ, ἀπιστία, τάραχος, ἐπιορκία, θόρυβος ἀγαθῶν,

26. χάριτος ἀμνησία, ψυχῶν μιασμὸς, γενέσεως ἐναλλαγὴ, γάμων ἀταξία, μοιχεία, καὶ ἀσέλγεια.

27. ἡ γὰρ τῶν ἀνωνύμων εἰδώλων θρησκεία, παντὸς ἀρχὴ κακοῦ, καὶ αἰτία, καὶ πέρας ἐστίν.

28. ἢ γὰρ εὐφραινόμενοι μεμήνασιν, ἢ προφητεύουσι ψευδῆ, ἢ ζῶσιν ἀδίκως, ἢ ἐπιορκοῦσι ταχέως.

29. ἀψύχοις γὰρ πεποιθότες εἰδώλοις, κακῶς ὀμόσαντες ἀδικηθῆναι οὐ προσδέχονται.

30. ἀμφότερα δὲ αὐτοὺς μετελεύσεται τὰ δίκαια, ὅτι κακῶς ἐφρόνησαν περὶ θεοῦ, προσχόντες εἰδώλοις, καὶ ἀδίκως ὤμοσαν ἐν δόλῳ, καταφρονήσαντες ὁσιότητος.

31. οὐ γὰρ ἡ τῶν ὀμνυμένων δύναμις, ἀλλ᾽ ἡ

τῶν ἁμαρτανόντων δίκη ἐπεξέρχεται ἀεὶ τὴν τῶν ἀδίκων παράβασιν.

## CAPUT XV.

1. Σὺ δὲ, ὁ θεὸς ἡμῶν, χρηστὸς καὶ ἀληθὴς, μακρόθυμος, καὶ ἐλέει διοικῶν τὰ πάντα.

2. Καὶ γὰρ ἐὰν ἁμαρτῶμεν, σοί ἐσμεν, εἰδότες σοῦ τὸ κράτος. οὐχ ἁμαρτησόμεθα δὲ, εἰδότες, ὅτι σοὶ λελογίσμεθα.

3. τὸ γὰρ ἐπίστασθαί σε, ὁλόκληρος δικαιοσύνη, καὶ εἰδέναι τὸ κράτος σου ῥίζα ἀθανασίας.

4. οὔτε γὰρ ἐπλάνησεν ἡμᾶς ἀνθρώπων κακότεχνος ἐπίνοια, οὐδὲ σκιογράφων πόνος ἄκαρπος, εἶδος σπιλωθὲν χρώμασι διηλλαγμένοις.

5. ὧν ὄψις ἄφροσιν εἰς ὄρεξιν ἔρχεται, ποθεῖ τε νεκρᾶς εἰκόνος εἶδος ἄπνουν.

6. κακῶν ἐρασταὶ, ἄξιοί τε τοιούτων ἐλπίδων, καὶ οἱ δρῶντες, καὶ οἱ ποθοῦντες, καὶ οἱ σεβόμενοι.

7. Καὶ γὰρ κεραμεὺς ἁπαλὴν γῆν θλίβων ἐπίμοχθον, πλάσσει πρὸς ὑπηρεσίαν ἡμῶν ἕκαστον, ἀλλ' ἐκ τοῦ αὐτοῦ πηλοῦ ἀνεπλά-

σατο τά τε τῶν καθαρῶν ἔργων δοῦλα σκεύη, τά τε ἐναντία πάνθ' ὁμοίως. τούτων δὲ ἑκατέρου τίς ἑκάστου ἐστὶν ἡ χρῆσις, κριτὴς ὁ πηλουργός.

8. καὶ κακόμοχθος θεὸν μάταιον ἐκ τοῦ αὐτοῦ πλάσσει, ὃς πρὸ μικροῦ ἐκ γῆς γενηθεὶς, μετ' ὀλίγον πορεύεται ἐξ ἧς ἐλήφθη, τὸ τῆς ψυχῆς ἀπαιτηθεὶς χρέος.

9. ἀλλ' ἔστιν αὐτῷ φροντὶς οὐχ ὅτι μέλλει κάμνειν, οὐδ' ὅτι βραχυτελῆ βίον ἔχει, ἀλλ' ἀντερείδεται μὲν χρυσουργοῖς, καὶ ἀργυροχόοις, χαλκοπλάστας τε μιμεῖται, καὶ δόξαν ἡγεῖται, ὅτι κίβδηλα πλάσσει.

10. σποδὸς ἡ καρδία αὐτοῦ, καὶ γῆς εὐτελεστέρα ἡ ἐλπὶς αὐτοῦ, πηλοῦ τε ἀτιμότερος ὁ βίος αὐτοῦ.

11. ὅτι ἠγνόησε τὸν πλάσαντα αὐτὸν, καὶ τὸν ἐμπνεύσαντα αὐτῷ ψυχὴν ἐνεργοῦσαν, καὶ ἐμφυσήσαντα πνεῦμα ζωτικόν.

12. ἀλλ' ἐλογίσαντο παίγνιον εἶναι τὴν ζωὴν ἡμῶν, καὶ τὸν βίον πανηγυρισμὸν ἐπικερδῆ. δεῖν γάρ, φασιν, ὅθεν δὴ κἂν ἐκ κακοῦ πορίζειν.

13. οὗτος γὰρ παρὰ πάντας οἶδεν, ὅτι ἁμαρτάνει, ὕλης γεώδους εὔθραυστα σκεύη, καὶ γλυπτὰ δημιουργῶν.

14. πάντες δ' ἀφρονέστατοι, καὶ τάλανες ὑπὲρ ψυχὴν νηπίου, οἱ ἐχθροὶ τοῦ λαοῦ σου, καταδυναστεύσαντες αὐτόν.

15. ὅτι καὶ πάντα εἴδωλα τῶν ἐθνῶν ἐλογίσαντο θεοὺς, οἷς οὔτε ὀμμάτων χρῆσις εἰς ὅρασιν, οὔτε ῥῖνες εἰς συνολκὴν ἀέρος, οὔτε ὦτα ἀκούειν, οὔτε δάκτυλοι χειρῶν εἰς ψηλάφησιν, καὶ οἱ πόδες αὐτῶν ἀργοὶ πρὸς ἐπίβασιν.

16. ἄνθρωπος γὰρ ἐποίησεν αὐτοὺς, καὶ τὸ πνεῦμα δεδανεισμένος ἔπλασεν αὐτούς. οὐδεὶς γὰρ αὐτῷ ὅμοιον ἄνθρωπος ἰσχύει πλάσαι θεόν.

17. θνητὸς δὲ ὤν, νεκρὸν ἐργάζεται χερσὶν ἀνόμοις. κρείττων γάρ ἐστι τῶν σεβασμάτων αὐτοῦ, ὧν αὐτὸς μὲν ἔζησεν, ἐκεῖνα δὲ οὐδέποτε.

18. καὶ τὰ ζῶα δὲ τὰ ἔχθιστα σέβονται. ἀνοίᾳ γὰρ συγκρινόμενα τῶν ἄλλων ἐστὶ χείρονα.

19. οὐδ' ὅσον ἐπιποθῆσαι ὡς ἐν ζώων ὄψει καλὰ τυγχάνει. ἐκπέφευγε δὲ καὶ τὴν τοῦ θεοῦ ἔπαινον, καὶ τὴν εὐλογίαν αὐτοῦ.

## CAPUT XVI.

1. Διὰ τοῦτο δι' ὁμοίων ἐκολάσθησαν ἀξίως.

ξίως καὶ διὰ πλήθους κνωδάλων ἐβασανί-
σθησαν.
2. ἀνθ' ἧς κολάσεως εὐεργετήσας τὸν λαόν σου
εἰς ἐπιθυμίαν ὀρέξεως, ξένην γεῦσιν, τροφὴν
ἡτοίμασας ὀρτυγομήτραν.
3. ἵνα ἐκεῖνοι ἐπιθυμοῦντες τροφῆς, διὰ τὴν
δειχθεῖσαν τῶν ἐπαπεσταλμένων καὶ τὴν ἀναγ-
καίαν ὄρεξιν ἀποστρέφωνται, αὐτοὶ δὲ ἐπ' ὀ-
λίγον ἐνδεεῖς γενόμενοι, καὶ ξένης μετάσχωσι
γεύσεως.
4. ἔδει γὰρ ἐκείνοις μὲν ἀπαραίτητον ἔνδει-
αν ἐπελθεῖν τυραννοῦσι, τούτοις δὲ μόνον δειχθῆ-
ναι, πῶς οἱ ἐχθροὶ αὐτῶν ἐβασανίζοντο.
5. καὶ γὰρ ὅτε αὐτοῖς δεινὸς ἐπῆλθε θηρίων
θυμὸς, δήγμασίτε σκολιῶν διεφθείροντο ὄ-
φεων.
6. οὐ μέχρι τέλους ἔμεινεν ἡ ὀργή σου, εἰς νου-
θεσίαν δὲ πρὸς ὀλίγον ἐταράχθησαν, σύμβο-
λον ἔχοντες σωτηρίας, εἰς ἀνάμνησιν ἐντολῆς
νόμου σου.
7. ὁ γὰρ ἐπιστραφεὶς οὐ διὰ τὸ θεωρούμενον ἐ-
σώζετο, ἀλλὰ διά σε τὸν πάντων σωτῆρα.
8. καὶ ἐν τούτῳ δὲ ἔπεισας τοὺς ἐχθροὺς ἡμῶν,
ὅτι σὺ εἶ ὁ ῥυόμενος ἐκ παντὸς κακοῦ.

9. οὓς μὲν γὰρ ἀκρίδων καὶ μυῶν ἀπέκτεινε δήγματα, καὶ οὐχ εὑρέθη ἴαμα τῇ ψυχῇ αὐτῶν, ὅτι ἄξιοι ἦσαν ὑπὸ τοιούτων κολασθῆναι.

10. τοὺς δὲ υἱούς σου οὐδὲ ἰοβόλων δρακόντων ἐνίκησαν ὀδόντες. τὸ ἔλεος γάρ σου ἀντιπαρῆλθε καὶ ἰάσατο αὐτούς.

11. εἰς γὰρ ὑπόμνησιν τῶν λογίων σου ἐνεκεντρίζοντο, καὶ ὀξέως διεσώζοντο, ἵνα μὴ εἰς βαθεῖαν ἐμπεσόντες λήθην, ἀπερίσπαστοι γένωνται τῆς σῆς εὐεργεσίας.

12. καὶ γὰρ οὔτε βοτάνη, οὔτε μάλαγμα ἐθεράπευσεν αὐτούς, ἀλλ' ὁ σός, Κύριε, λόγος, ὁ πάντα ἰώμενος.

13. σὺ γὰρ ζωῆς καὶ θανάτου ἐξουσίαν ἔχεις, καὶ κατάγεις εἰς πύλας ᾅδου, καὶ ἀνάγεις.

14. ἄνθρωπος δὲ ἀποκτείνει μὲν τῇ κακίᾳ αὐτοῦ, ἐξελθὸν δὲ πνεῦμα οὐκ ἀναστρέφει, οὐδὲ ἀναλύει ψυχὴν παραλειφθεῖσαν.

15. τὴν δὲ σὴν χεῖρα φεύγειν ἀδύνατόν ἐστι.

16. ἀρνούμενοι γάρ σε εἰδέναι ἀσεβεῖς, ἐν ἰσχύϊ βραχίονός σου ἐμαστιγώθησαν ξένοις ὑετοῖς, καὶ χαλάζαις, καὶ ὄμβροις διωκόμενοι ἀπαραιτήτοις, καὶ πυρὶ καταναλισκόμενοι.

17. τὸ

17. τὸ γὰρ παραδοξότατον ἐν τῷ πάντα σβεννύντι ὕδατι πλεῖον ἐνήργει τὸ πῦρ.
ὑπέρμαχος γὰρ ὁ κόσμος ἐστὶ δικαίων.
18. ποτὲ μὲν γὰρ ἡμεροῦτο φλὸξ, ἵνα μὴ καταφλέξῃ τὰ ἐπ' ἀσεβεῖς ἀπεσταλμένα ζῷα, ἀλλ' αὐτοὶ βλέποντες ἴδωσιν, ὅτι θεοῦ κρίσει ἐλαύνονται.
19. ποτὲ δὲ καὶ μεταξὺ ὕδατος ὑπὲρ τὴν πυρὸς δύναμιν φλέγει, ἵνα ἀδίκου γῆς γεννήματα διαφθείρει.
20. ἀνθ' ὧν ἀγγέλων τροφὴν ἐψώμισας τὸν λαόν σου, καὶ ἕτοιμον ἄρτον αὐτοῖς ἀπ' οὐρανοῦ ἔπεμψας ἀκοπιάτως, πᾶσαν ἡδονὴν ἰσχύοντα, καὶ πρὸς πᾶσαν ἁρμόνιον γεῦσιν.
21. ἡ μὲν γὰρ ὑπόστασίς σου τὴν σὴν γλυκύτητα πρὸς τέκνα ἐνεφάνισε, τῇ δὲ τοῦ προσφερομένου ἐπιθυμίᾳ ὑπηρετῶν, πρὸς ὅ τις ἐβούλετο, μετεκιρνᾶτο.
22. χιὼν δὲ, καὶ κρύσταλλος ὑπέμεινε πῦρ, καὶ οὐκ ἐτήκετο, ἵνα γνῶσιν, ὅτι τοὺς τῶν ἐχθρῶν καρποὺς κατέφθειρε πῦρ φλεγόμενον ἐν τῇ χαλάζῃ, καὶ ἐν τοῖς ὑετοῖς διαστράπτον.
23. τοῦτο πάλιν δ' ἵνα τραφῶσι δίκαιοι, καὶ τῆς ἰδίας ἐπιλέλησται δυνάμεως.

24. ἡ γὰρ κτίσις σοὶ τῷ ποιήσαντι ὑπηρετοῦσα, ἐπιτείνεται εἰς κόλασιν κατὰ τῶν ἀδίκων, καὶ ἀνίεται εἰς εὐεργεσίαν ὑπὲρ τῶν εἰς σὲ πεποιθότων.

25. διὰ τοῦτο καὶ τότε εἰς πάντα μεταλλευομένη τῇ παντοτρόφῳ σου δωρεᾷ, ὑπηρετεῖ πρὸς τὴν τῶν δεομένων θέλησιν.

26. ἵνα μάθωσιν οἱ υἱοί σου, οὓς ἠγάπησας, Κύριε, ὅτι

οὐχ αἱ γενέσεις τῶν καρπῶν τρέφουσιν ἄνθρωπον, ἀλλὰ τὸ ῥῆμά σου τοὺς σοὶ πιστεύοντας διατηρεῖ.

27. τὸ γὰρ ὑπὸ πυρὸς μὴ φθειρόμενον, ἁπλῶς ὑπὸ βραχείας ἀκτῖνος ἡλίου θερμαινόμενον ἐτήκετο.

28. ὅπως γνωστὸν ᾖ, ὅτι δεῖ φθάνειν τὸν ἥλιον ἐπ' εὐχαριστίαν σου, καὶ πρὸς ἀνατολὴν φωτὸς ἐντυγχάνειν σοι.

29. ἀχαρίστου γὰρ ἐλπὶς ὡς χειμέριος πάχνη τακήσεται, καὶ ῥυήσεται ὡς ὕδωρ ἄχρηστον.

## CAPUT XVII.

1. Μεγάλαι γάρ σου αἱ κρίσεις, καὶ δυσδιήγητοι

γητοι. διὰ τοῦτο ἀπαίδευτοι ψυχαὶ ἐπλανήθησαν.

2. ὑπειληφότες γὰρ καταδυναστεύειν ἔθνος ἅγιον ἄνομοι, δέσμιοι σκότους, καὶ μακρᾶς πεδῆται νυκτὸς, κατακλεισθέντες ὀρόφοις, φυγάδες τῆς αἰωνίου προνοίας ἔκειντο.

3. λανθάνειν γὰρ νομίζοντες ἐπὶ κρυφαίοις ἁμαρτήμασιν, ἀφεγγεῖ λήθης παρακαλύμματι ἐσκορπίσθησαν, θαμβούμενοι δεινῶς, καὶ ἰνδάλμασιν ἐκταρασσόμενοι.

4. οὐδὲ γὰρ ὁ κατέχων αὐτοὺς μυχὸς ἀφόβως διεφύλασσεν, ἦχοι δὲ καταράσσοντες αὐτοὺς περιεκόμπουν, καὶ φάσματα ἀμειδῆ τοῖς κατηφέσι προσώποις ἐνεφανίζετο.

5. καὶ πυρὸς μὲν οὐδεμία βία κατίσχυε φωτίζειν, οὔτε ἄστρων ἔκλαμπροι φλόγες καταυγάζειν ὑπέμενον τὴν στυγνὴν ἐκείνην νύκτα.

6. διεφαίνετο δ᾽ αὐτοῖς μόνον αὐτομάτη πυρὰ φόβου πλήρης, ἐνδειματούμενοι δὲ τῆς μὴ θεωρουμένης ἐκείνης ὄψεως, ἡγοῦντο χείρω τὰ βλεπόμενα.

7. μαγικῆς δὲ ἐμπαίγματα κατέκειτο τέχνης, καὶ τῆς ἐπὶ φρονήσει ἀλαζονείας ἔλεγχος ἐφύβριστος.

8. οἱ γὰρ

8. οἱ γὰρ ὑπισχνούμενοι δείματα καὶ ταραχὰς ἀπελαύνειν ψυχῆς νοσούσης, οὗτοι καταγέλαστον εὐλάβειαν ἐνόσουν.

9. καὶ γὰρ εἰ μηδὲν αὐτοὺς ταραχῶδες ἐφόβει, κνωδάλων παρόδοις, καὶ ἑρπετῶν συριγμοῖς ἐκσεσοβημένοι, διώλλυντο ἔντρομοι, καὶ τὸν μηδαμόθεν φευκτὸν ἀέρα προσιδεῖν ἀρνούμενοι.

10. δειλὸν γὰρ ἰδίῳ πονηρία μάρτυρι καταδικαζομένη, ἀεὶ δὲ προσείληφε τὰ χαλεπὰ συνεχομένη τῇ συνειδήσει.

11. οὐδὲν γάρ ἐστι φόβος, εἰ μὴ προδοσία τῶν ἀπὸ λογισμοῦ βοηθημάτων.

12. ἔνδοθεν δὲ οὖσα ἥττων ἡ προσδοκία, πλείονα λογίζεται τὴν ἄγνοιαν τῆς παρεχούσης τὴν βάσανον αἰτίας.

13. οἱ δὲ τὴν ἀδύνατον ὄντως νύκτα καὶ ἐξ ἀδυνάτου ᾅδου μυχῶν ἐπελθοῦσαν, τὸν αὐτὸν ὕπνον κοιμώμενοι,

14. τὰ μὲν τέρασιν ἠλαύνοντο φαντασμάτων, τὰ δὲ τῆς ψυχῆς παρελύοντο προδοσίᾳ. αἰφνίδιος γὰρ αὐτοῖς καὶ ἀπροσδόκητος φόβος ἐπῆλθεν.

15. εἶθ᾽ οὕτως, ὃς δήποτ᾽ οὖν ἦν ἐκεῖ καταπί-

πλων, ἐφρυρεῖτο εἰς τὴν ἀσίδηρον εἱρκτὴν κατακλεισθείς.

16. εἴτε γὰρ γεωργὸς ἦν τις, ἢ ποιμὴν, ἢ τῶν κατ᾽ ἐρημίαν ἐργάτης μόχθων, προληφθεὶς τὴν δυσάλυκτον ἔμενεν ἀνάγκην.

17. μιᾷ γὰρ ἁλύσει σκότους πάντες ἐδέθησαν, εἴτε πνεῦμα συρίζον, ἢ περὶ ἀμφιλαφεῖς κλάδους ὀρνέων ἦχος εὐμελὴς, ἢ ῥυθμὸς ὕδατος πορευομένου βίᾳ,

18. ἢ κτύπος ἀπηνὴς καταῤῥιπτομένων πετρῶν, ἢ σκιρτώντων ζώων δρόμος ἀθεώρητος, ἢ ὠρυομένων ἀπηνεστάτων θηρίων φωνὴ, ἢ ἀντανακλωμένη ἐκ κοιλότητος ὀρέων ἠχὼ παρέλυσεν αὐτοὺς ἐκφοβοῦσα.

19. ὅλος γὰρ ὁ κόσμος λαμπρῷ κατελάμπετο φωτὶ, καὶ ἀνεμποδίστοις συνείχετο ἔργοις.

20. μόνοις δὲ ἐκείνοις ἐπεπέτατο βαρεῖα νὺξ, εἰκὼν τοῦ μέλλοντος αὐτοὺς διαδέχεσθαι σκότους. ἑαυτοῖς δὲ ἦσαν βαρύτεροι σκότους.

## CAPVT XVIII.

1. Τοῖς δὲ ὁσίοις σου μέγιστον ἦν φῶς, ὧν φωνὴν μὲν ἀκούοντες, μορφὴν δὲ

οὐχ

οὐχ ὁρῶντες, ὅτι μὲν οὐ κἀκεῖνοι πεπόνθασιν, ἐμακάριζον,

2. ὅτι δὲ οὐ βλάπτουσι προηδικημένοι εὐχαριστοῦσι, καὶ τοῦ διενεχθῆναι χάριν ἐδέοντο.

3. ἀνθ' ὧν πυριφλεγῆ στύλον, ὁδηγὸν μὲν ἀγνώστου ὁδοιπορίας, ἥλιον δὲ ἀβλαβῆ φιλοτίμου ξενιτείας παρέσχες.

4. ἄξιοι μὲν γὰρ ἐκεῖνοι στερηθῆναι φωτὸς, καὶ φυλακισθῆναι ἐν σκότει, οἱ κατακλείστους φυλάξαντες τοὺς υἱούς σου, δι' ὧν ἤμελλε τὸ ἄφθαρτον νόμου φῶς τῷ αἰῶνι δίδοσθαι.

5. βουλευσαμένους δὲ αὐτοὺς τὰ τῶν ὁσίων ἀποκτεῖναι νήπια, καὶ ἑνὸς ἐκτεθέντος τέκνου καὶ σωθέντος εἰς ἔλεγχον, τὸ αὐτῶν ἀφείλω πλῆθος τέκνων, καὶ ὁμοθυμαδὸν ἀπώλεσας ἐν ὕδατι σφοδρῷ.

6. ἐκείνη ἡ νὺξ προεγνώσθη πατράσιν ἡμῶν, ἵνα ἀσφαλῶς εἰδότες οἷς ἐπίστευσαν ὅρκοις, ἐπευθυμήσωσιν.

7. προσεδέχθη δὲ ὑπὸ λαοῦ σου σωτηρία μὲν δικαίων, ἐχθρῶν δὲ ἀπώλεια.

8. ᾧ γὰρ ἐτιμωρήσω τοὺς ὑπεναντίους, τούτῳ ἡμᾶς προσκαλεσάμενος ἐδόξασας.

9. κρυφῇ γὰρ ἐθυσίαζον ὅσιοι παῖδες ἀγα-

θῶν, καὶ τὸν τῆς θειότητος νόμον ἐν ὁμονοίᾳ δι-
έθεντο, τῶν αὐτῶν ὁμοίως καὶ ἀγαθῶν, καὶ κιν-
δύνων μεταλήψεσθαι τοὺς ἁγίους, πατέρων ἤδη
προαναμελπόντων αἴνους.
10. ἀντήχει δ' ἀσύμφωνος ἐχθρῶν ἡ βοὴ,
καὶ οἰκτρὰ διεφέρετο φωνὴ θρηνουμένων παίδων.
11. ὁμοίᾳ δὲ δίκῃ δοῦλος ἅμα δεσπότῃ κο-
λασθεὶς, καὶ δημότης βασιλεῖ τὰ αὐτὰ πάσχων.
12. ὁμοθυμαδὸν δὲ πάντες ἐν ἑνὶ ὀνόματι
θανάτου νεκροὺς εἶχον ἀναριθμήτους. οὐδὲ γὰρ
πρὸς τὸ θάψαι οἱ ζῶντες ἦσαν ἱκανοὶ, ἐπεὶ πρὸς
μίαν ῥοπὴν ἡ ἐντιμοτέρα γένεσις αὐτῶν διε-
φθάρη.
13. πάντα γὰρ ἀπιστοῦντες διὰ τὰς φαρμα-
κείας, ἐπὶ τῶν πρωτοτόκων ὀλέθρῳ ὡμολόγη-
σαν θεοῦ υἱὸν λαὸν εἶναι.
14. ἡσύχου γὰρ σιγῆς περιεχούσης τὰ πάντα,
καὶ νυκτὸς ἐν ἰδίῳ τάχει μεσαζούσης,
15. ὁ παντοδύναμός σου λόγος ἀπ' οὐρανῶν
ἐκ θρόνων βασιλείων ἀπότομος πολεμιστὴς
εἰς μέσον τῆς ὀλεθρίας ἥλατο γῆς.
16. ξίφος ὀξὺ τὴν ἀνυπόκριτον ἐπιταγήν σου
φέρων, καὶ στὰς ἐπλήρωσε τὰ πάντα θανάτου, καὶ
οὐρανοῦ μὲν ἥπτετο, βεβήκει δὲ ἐπὶ γῆς.

17. Τότε παραχρῆμα φαντασίαι μὲν ὀνείρων δεινῶς ἐξετάραξαν αὐτοὺς, φόβοι δὲ ἐπέστησαν ἀδόκητοι.

18. καὶ ἄλλος ἀλλαχῇ ῥιφεὶς ἡμίθνητος, δι' ἣν ἔθνησκεν αἰτίαν ἐνεφάνιζεν.

19. οἱ γὰρ ὄνειροι θορυβήσαντες αὐτοὺς, τοῦτο προεμήνυσαν, ἵνα μὴ ἀγνοοῦντες δι' ὃ κακῶς πάσχουσιν, ἀπόλωνται.

20. ἥψατο δὲ καὶ δικαίων πεῖρα θανάτου, καὶ θραῦσις ἐν ἐρήμῳ ἐγένετο πλήθους. ἀλλ' οὐκ ἐπὶ τὸ πολὺ ἔμεινεν ἡ ὀργή.

21. σπεύσας γὰρ ἀνὴρ ἄμεμπτος προεμάχησε, τὸ τῆς ἰδίας λειτουργίας ὅπλον προσευχὴν, καὶ θυμιάματος ἐξιλασμὸν κομίσας, ἀντέστη τῷ θυμῷ, καὶ πέρας ἐπέθηκε τῇ συμφορᾷ, δεικνὺς ὅτι σός ἐστι θεράπων.

22. ἐνίκησε δὲ τὸν ὄχλον οὐκ ἰσχύϊ τοῦ σώματος, οὐδ' ὅπλων ἐνεργείᾳ, ἀλλὰ λόγῳ τὸν κολάζοντα ὑπέταξεν, ὅρκους πατέρων καὶ διαθήκας ὑπομνήσας.

23. σωρηδὸν γὰρ ἤδη πεπτωκότων ἐπ' ἀλλήλων νεκρῶν, μεταξὺ στὰς ἀνέκοψε τὴν ὀργὴν, καὶ διέσχισε τὴν πρὸς τοὺς ζῶντας ὁδόν.

24. ἐπὶ γὰρ ποδήρους ἐνδύματος ἦν ὅλος ὁ κόσμος, καὶ πατέρων δόξαι ἐπὶ τετραστίχου λίθου γλυφῆς, καὶ μεγαλωσύνη σου ἐπὶ διαδήματος κεφαλῆς αὐτοῦ.

25. τούτοις εἶξεν ὁ ὀλοθρεύων, ταῦτα δὲ ἐφοβήθη. ἦν γὰρ μόνη ἡ πεῖρα τῆς ὀργῆς ἱκανή.

## CAPUT XIX.

1. Τοῖς δὲ ἀσεβέσι μέχρι τέλους ἀνελεήμων θυμὸς ἐπέστη.

2. προῄδει γὰρ αὐτῶν καὶ τὰ μέλλοντα. ὅτι αὐτοὶ ἐπιτρέψαντες τοῦ ἀπιέναι, καὶ μετὰ σπουδῆς προπέμψαντες αὐτοὺς, διώξουσι μεταμεληθέντες.

3. ἔτι γὰρ ἐν χερσὶν ἔχοντες τὰ πένθη, καὶ προσοδυρόμενοι τάφοις νεκρῶν, ἕτερον ἐπεσπάσαντο λογισμὸν ἀνοίας, καὶ οὓς ἱκετεύοντες ἐξέβαλον, τούτους ὡς φυγάδας ἐδίωκον.

4. εἷλκε γὰρ αὐτοὺς ἡ ἀξία ἐπὶ τοῦτο τὸ πέρας ἀνάγκη, καὶ τῶν συμβεβηκότων ἀμνηστείαν ἐνέβαλεν, ἵνα τὴν λείπουσαν ταῖς βασάνοις προσαναπληρώσωσι κόλασιν.

5. καὶ ὁ μὲν λαός σου παράδοξον ὁδοιπορίαν πειράσῃ, ἐκεῖνοι δὲ ξένον εὕρωσι θάνατον.

6. ὅλη

6. ὅλη γὰρ ἡ κτίσις ἐν ἰδίῳ γένει πάλιν ἄνωθεν διετυποῦτο, ὑπηρετοῦσα ταῖς ἰδίαις ἐπιταγαῖς, ἵνα οἱ σοὶ παῖδες φυλαχθῶσιν ἀβλαβεῖς.

7. ἡ τὴν παρεμβολὴν σκιάζουσα νεφέλη, ἐκ δὲ προϋφεστῶτος ὕδατος ξηρᾶς ἀνάδυσις γῆς ἐθεωρήθη, καὶ ἐξ ἐρυθρᾶς θαλάσσης ὁδὸς ἀνεμπόδιστος, καὶ χλοηφόρον πεδίον ἐκ κλύδωνος βιαίου.

8. δι' οὗ πᾶν ἔθνος διῆλθον, οἱ τῇ σῇ σκεπαζόμενοι χειρὶ θεωρήσαντες θαυμαστὰ τέρατα.

9. ὡς γὰρ ἵπποι ἐνεμήθησαν, καὶ ὡς ἀμνοὶ διεσκίρτησαν, αἰνοῦντές σε, Κύριε, τὸν ῥυσάμενον αὐτούς.

10. ἐμέμνητο γὰρ ἔτι τῶν ἐν τῇ παροικίᾳ αὐτῶν, πῶς ἀντὶ μὲν γενέσεως ζώων ἐξήγαγεν ἡ γῆ σκνίπας, ἀντὶ δὲ ἐνύδρων ἐξηρεύξατο ὁ ποταμὸς πλῆθος βατράχων.

11. ἐφ' ὑστέρῳ δὲ εἶδον καὶ νέαν γένεσιν ὀρνέων, ὅτε ἐπιθυμίᾳ προαχθέντες ᾐτήσαντο ἐδέσματα τρυφῆς.

12. εἰς γὰρ παραμυθίαν ἀνέβη αὐτοῖς ἀπὸ θαλάσσης ὀρτυγομήτρα, καὶ αἱ τιμωρίαι τοῖς ἁμαρτωλοῖς ἐπῆλθον, οὐκ ἄνευ προγεγονό-

των τεκμηρίων τῇ βίᾳ τῶν κεραυνῶν. δικαίως γὰρ ἔπασχον ταῖς ἰδίαις αὐτῶν πονηρίαις. καὶ γὰρ χαλεπωτέραν μισοξενίαν ἐπετήδευσαν.

13. οἱ μὲν γὰρ τοὺς ἀγνοοῦντας οὐκ ἐδέχοντο παρόντας, οὗτοι δὲ εὐεργέτας ξένους ἐδουλοῦντο.

14. Καὶ οὐ μόνον, ἀλλ᾽ ἥ τις ἐπισκοπὴ ἔσται αὐτῶν, ἐπεὶ ἀπεχθῶς προσεδέχοντο τοὺς ἀλλοτρίους.

15. οἱ δὲ μετὰ ἑορτασμάτων εἰσδεξάμενοι, τοὺς ἤδη τῶν αὐτῶν μετεσχηκότας δικαίων δεινοῖς ἐκάκωσαν πόνοις.

16. ἐπλήγησαν δὲ καὶ ἀορασίᾳ, ὥσπερ ἐκεῖνοι ἐπὶ ταῖς τοῦ Δικαίου θύραις, ὅτε ἀχανεῖ περιβληθέντες σκότει, ἕκαστος τῶν αὐτοῦ θυρῶν τὴν δίοδον ἐζήτει.

17. δι᾽ ἑαυτῶν γὰρ τὰ στοιχεῖα μεθαρμοζόμενα, ὥσπερ ἐν ψαλτηρίῳ φθόγγοι τοῦ ῥυθμοῦ τὸ ὄνομα διαλλάσσουσι, πάντοτε μένοντα ἤχῳ, ὅπερ ἐστὶν εἰκάσαι ἐκ τῆς τῶν γεγονότων ὄψεως ἀκριβῶς.

18. χερσαῖα γὰρ εἰς ἔνυδρα μετεβάλλετο, καὶ νηκτὰ μετέβαινεν ἐπὶ γῆς.

19. πῦρ ἴσχυσεν ἐν ὕδατι τῆς ἰδίας δυνάμεως, καὶ ὕδωρ τῆς σβεστικῆς δυνάμεως ἐπελανθάνετο.

20. Φλό-

20. Φλόγες ἀνάπαλιν φθαρτῶν ζώων οὐκ ἐμάραναν σάρκας, ἐμπεριπατούντων, οὐδ᾽ ἔτηκον κρυσταλλοειδὲς εὔτηκτον γένος ἀμβροσίας τροφῆς.

21. κατὰ πάντα γὰρ, Κύριε, ἐμεγάλυνας τὸν λαόν σου, καὶ ἐδόξασας, καὶ οὐχ ὑπερεῖδες ἐν παντὶ καιρῷ καὶ τόπῳ παριστάμενος.

# IN LIBRVM SAPIENTIÆ PRÆFATIO D. D. LVTHERI, IN QVA FERÈ OMNIA CONTINENTUR, quæ de hoc libro dici poſſunt.

DIu fuit de hoc Libro controverſum, num Sacris Scriptis veteris Teſtamenti deberet annumerari, nec ne: præſertim cum Autor in 9. capite videatur hoc innuere, quaſi loquatur per totum hunc Librum Rex Salomon, qui ab excellenti Sapientia in 3. libro Regum valde prædicatur.

Sed antiqui PATRES prorſus eum removerunt â libris Sacræ Scripturæ, arbitrantes ſub perſona Regis Salomonis eſſe factum & editum, ideo, ut propter celeberrimũ nomen tanti Regis pluris fieret, & in majori eſſet autoritate apud POTENTES in terra, ad quos peculiariter hoc Scriptum directum eſt. Ac fortaſsis jamdudum fuiſſet amiſſus & abolitus hic

Liber,

Liber, si Autor, præsertim si non ita magni nominis vel autoritatis fuit, eum cum sui nominis inscriptione in publicum emisisset.

In hac autem plerique sunt sententia, hujus libri autorem esse PHILONEM, qui sine controversia fuit unus ex eorum numero, quos unquam populus Iudaicus habuit, post Prophetarum tempora, eruditione ac Sapientia excellentisimos, sicut hoc & alijs Scriptis suis & factis testatum fecit.

Nam cum tempore C. Caligulæ Cæsaris Romani, Iudæi ab aliquot infestis Græcis, ut Appione Alexandrino, & alijs pluribus, omnium contumeliosisime deformarentur, invectivarum maledicentia, & convitiorum acerbitate, & tandem virulentisimè apud Imperatorem traducerentur, & accusarentur: missus fuit hic PHILO ad imperatorem cum alijs, nomine totius populi, ad purgandos & excusandos Iudæos.

Sed

Sed cum imperator illis Græcorum calumnijs ita esset exacerbatus in Iudæos, ut Legationem illam à se repelleret, & audire nollet: ibi PHILO ostendens animi sui celsitudinem & fiduciam, conversus ad suos populares Iudæos, clara voce, *agite*, inquit,

*Fratres, bono estote animo, nec terreamini: quia enim humana præsidia nos vrorsus destituunt, certissimum est, Dei auxilium eò præsentius nobis affuturum esse,* (Vide Eusebium lib. 2. c. 5. historiæ Ecclesiasticæ, ubi etiam Iosephum citat.)

Ex tali fonte & causa, existimo ego quidem, hunc Librum promanasse, quòd PHILO cernens, suam & Iudæorum justam causam non habere locum apud Cæsarem, converterit se ad Deum, comminans potentibus, & maledicis calumniatoribus judicium ac pœnas divinas.

Ideo etiam adeò vehementer & acriter in primo & secundo capite invehitur in venenatas linguas, quæ ju-

ſtum ac innocentem propter veritatem perſequuntur & occidunt.

Ac deinde contra POTENTES inducit exempla judicij divini, quod Deus exercuit in puniendo Pharaone & Ægyptijs, propter filios Iſraël crudeliter tractatos.

Idq́; facit adeò inſignibus & atrocib. verbis, quaſi velit ſingulis vocabulis perſtringere ſimul & Imperatorem ac Romanos, & virulentas linguas Græcorum, furentium cupiditate nocendi contra Iudæos, ſi poſsit horum exemplorum atrocitate eos à propoſito abſterrere, & ſimul Iudæos erigere ac conſolari.

Sed poſtea hic Liber à multis cœptus eſt haberi pro parte Scripturæ ſacræ, præcipuè in Romana Ecclesia, ubi tanta eius dignitas & autoritas fuit, ut vix ex alio libro Biblico tot ſint deſumptæ Cantiones ſacræ,

quot ex hoc libro factæ in templis usurpantur: fortaſsis hanc ob cauſam, quòd cum in hoc Libro tanta verborum vehementia arguantur & taxentur Tyranni: rurſus etiam Sancti Viri, & præcipuè Martyres adeò efficacibus conſolationibus erigantur, & Romæ atrocior, quàm ullibi aliàs in toto Orbe perſecutio & carnificina in ſanctos homines exerceretur: hunc Librum magis aſsiduo uſu, quàm alios celebrare voluerunt, cum ejus argumentum ad illa negocia tam aptè quadraret, terrendo videlicet acribus comminationibus Tyrannos, & conſolando pios ac Sanctos. Etſi multos locos hujus libri non rectè intelligentes Monachi, abſurdè detorſerunt ad alienas res ſignificandas, ſicut omnibus fermè partibus Scripturæ ſanctæ ſæpe idem contigit, & contingit quotidie.

Vt ut eſt, MVLTA VTILIA reperiuntur IN HOC LIBRO, propter quæ dignus eſt, ut diligenter legatur.

gatur. In primis verò debebat is notus esse MAGNATIBVS, qui sæviunt in Subditos suos, & rabiosè persequuntur innocentes propter verbum Dei.

Eos enim præcipuè alloquitur ca. 6. ubi fatetur, hunc Librum ad ipsos potissimum scriptum esse, cum inquit: *Ad vos Reges sunt hi sermones mei*, etc. Vbi etiam luculenter testatur, politicos Magistratus suam potestatem à Deo habere, & Dei Vicarios esse, simul comminans illis pœnas, si potestate & dignitate divinitus concessa, tyrannicè fuerint abusi.

Ideo non intempestivè prodijt in lucem hic Liber nostro hoc tempore, quo Tyranni satis confidenter & ferociter sua potentia & majestate abutuntur contra eum, à quo eam dignitatem & potestatem acceperunt. Et non minus fœdè polluunt se sua Idololatria, & impia ac impura sanctitate, quàm Philo hîc Romanos & cæteros Ethnicos Idololatras depingit. Quare o-

mnes partes huius libri aptè quadrant ad hæc noſtra tempora.

Appellatur autem hic Liber SAPIENTIA SALOMONIS, ideo, quòd, ut dictum eſt, ſub nomine & perſona Salomonis compoſita eſt, & in eo SAPIENTIA magnificè prædicat, quid ſit, quas vires habeat, & unde ſit.

*Hoc autem inſigniter me in hoc libro delectat*, quòd tantis laudibus effert verbum Dei & omnia efficaciæ Verbi adſcribit, quicquid Deus unquam miraculosè fecit, tam in hoſtium pœnis, quàm in ſanctorum liberationibus.

Ex quo perſpicuè apparet, Autorem hujus Scripti appellare SAPIENTIAM, non ingenioſas & ſublimes ſpeculationes Ethnicorum Philoſophorum, & rationis humanæ, ſed ſanctum VERBUM DEI,

Quicquid igitur hîc audies dici de laudibus & encomijs Sapientiæ, ſcias id non de alia ulla re, quàm de Verbo Dei, intelligi debere. Sic enim ipſe

inquit

inquit cap. 16. verſ. 7. & 26. *filios Iſraël non fuiſſe ſuſtentatos nutrimento Mannæ, nec per æneum Serpentem ſanatos*, ſed per Verbum Dei: ſicut & Chriſtus inquit Matt. 4. v. 4. *non ex ſolo pane vivit homo.*

Ideo docet, SAPIENTIAM non aliunde dari aut venire, quàm à DEO, atq; in eam ſententiam multa exempla allegat è Scriptura, & tribuit ea Sapientiæ, quæ Scriptura aliâs Verbo Dei aſſignat.

Hæc eò libentius hîc commemoravi, quòd ſciam, Vocabulum SAPIENTIÆ, à pleriſq; aliter accipi, quàm Scriptura illud uſurpat. Nam cum auditur nomen Sapientiæ, mox animi avolantes à vero ſignificato, opinantur nominari *ſubtiles illas ſpeculationes, quæ in Sapientum mentibus reconditæ ſunt*, nec exiſtimant externum Verbum Dei, ſeu Scripturam eſſe Sapientiam: cum tamen omnium hominum cogitationes, ſine Verbo Dei, mera ſint mendacia, & vaniſsima ſomnia.

Quare, cum audis hunc Librum appellari SAPIENTIAM SALOMONIS, perinde id accipe, ac ſi dicam: LIBER SALOMONIS de Verbo DEI.

Per SPIRITVM verò SAPIENTIÆ intellige fidem Verbi, ſeu verum ſenſum illius Verbi, quem Spiritus ſanctus largitur. Ea Fides, ſeu Spiritus poteſt & facit omnia, ſicut hic Liber de ea prædicat cap. 7. v. 27.

*Poſtremo eſt etiam hic Liber expoſitio & exemplum primi præcepti.* In eo enim cernis, ubiq; doceri & exigi Timorem Dei, & fiduciam. Terret igitur atrocibus exemplis iræ & judicij divini eos, qui ſine timore ſecuri contemnunt Deum.

Rurſus conſolatur exemplis divinæ clementiæ eos, qui ipſi firma fiducia credunt: quod, quid eſt aliud, quàm tradere verum intellectum primi præcepti?

Ex quo hoc etiam cognoſci poteſt, quòd ex primo præcepto tanquam ex uber-

uberrimo & perenni fonte, omnis Sapientia ſcaturit & emanat. Vnde jure illud Præceptum dici poteſt VERVS SOL, lucem præbens omnibus Sapientibus, ad videndum ea, quæ vident. Nam qui Deum timet, & promittenti aliquid credit, ille plenus eſt ſapientia, totius MVNDI MAGISTER, omnium verborum & operum potens effector, omnis doctrinæ & vitæ, quæ coram Deo aliquid valet & prodeſt, judex & cenſor.

Rurſum, alienus à primo præcepto, qui nec timet Deum, nec fidere illi novit, plenus eſt ſtultitia, nihil ſcit, nihil eſt.

Et hæc eſt præcipua cauſa, *cur hic Liber crebrò & diligenter legi debeat*, ut videlicet inde diſcamus timere Deum, & illius bonitati fidere. Quod, ut facere poſsimus, ipſe nos clementer adjuvet, Amen.

# An hic Liber falſa quædam contineat.

SIBRANDVS Lubbertus de principijs Chriſtianorum dogmatum lib. I. c. II. hunc librum non eſſe Canonicum inde probat, *quòd falſa quædam contineat*, affirmante ſcilicet eius Autore c. 14. verſ. 15. primam imaginem filio á patre erectam eſſe.

Secutus eſt autem Sibrandus autoritatem præceptoris ſui, cui reſponderat BELLARMINVS lib. I. de verbo Dei c. 13. qui potuiſſet ſe tueri autoritate Auguſtini, qui lib. 22. c. 17. contra Fauſtum ſic ſcribit: Non mirum eſt, ſi prævaricatores Angeli, quorum duo maxima vitia ſunt, Superbia atq; Fallacia, per hunc aërem volitantes, quod uni vero Deo deberi noverant, hoc ſibi à ſuis cultoribus exegerunt, à quibus Dij putari voluerunt, dante ſibi locum vanitate cordis humani, maximè cum ex deſiderio mortuorum conſtituerentuerentuerent-

tuerentur imagines, *unde Simulacrorum usus exortus est*: & majore adulatione divini honores deferrentur tanquam in in Cœlum receptis, pro quibus se in terris Dæmonia colenda supponerent, & sibi sacrificari à deceptis & perditis flagitarent.

Sed BELLARMINVS distinguit inter idolum privatim honoratum, & inter Idolum publicè ad adorandum propositum: de quorum illo SAPIENTIÆ locum interpretatur: hoc autem BELI Assyriorum Regis statuam â NINO filio positam fuisse, è quibusdam Patribus ostendit.

Ad hanc distinctionem debuisset SIBRANDVS responsionem suam accommodare: sed is alia duo urget, quòd nimirum *nec* mortuorũ ἀποθέωσις, *nec* hominis imago Idololatriæ principiũ fuerit, ut Autor libri SAPIENTIÆ affirmet.

*Prius* sic probat, quòd idola in usu fuerint, anteq; ista in consecrãdis mortuorum imaginibus ambitio invaluerit.

Nam Gen. 31. 19. RAHEL furatur Idola Patris sui: quo quidem in loco LVTHERVS ipse scribit, Vocem TERAPHIM, quæ Idolum significat, primum legi: & ab hoc vocabulo Græcum Verbum θεραπεύειν derivatur, quod Colere significat, & θεραπεία cultus, ut, ἡ περὶ τοὺς θεοὺς θεραπεία, Deorum cultus, apud Isocratem in Busiridis laudatione. Deinde in eodem Gen. capite, v. 53. LABAN jurat per Deos Nahor.

Posterius probat ex Eusebio, quòd scripserit, priscos homines prius adorasse Cœlum & Astra, quàm ullas imagines fecerint.

Sed ad *prius* responderi potest, quòd Autor libri SAPIENTIÆ *exemplum* Idololatriæ ponat, nõ *originem* eius declaret. Nam de Idololatria *in genere* dicit, quòd initium fuerit fornicationis, & corruptionis vitæ: quod in Gallicis Biblijs explicatur: Idololatriam introduxisse in mundũ omnem impietatem & dissolutionem, adeò, ut Timor Dei

aboli-

abolitus fuerit, & Superstitio se in omni iniquitate effuderit.

Hinc etiam Fornicatio in Scriptura appellatur, quòd non aliter cor hominis avertat à vero Deo, quàm fornicatio animum mariti à legitima conjuge abalienat, ita ut sæpe honestæ, & formosæ conjugi *deformem & spurcißimam* bestiam ac lenam præferat, quemadmodum Lutherus annotavit ad vers. 24. Sirach. 23.

Sunt tamen qui de origine Idololatriæ hunc locum accipiant, ut ante ex Augustino dictum est: & EPIPHANIUS Tom. 1. lib. 1. tradit, quòd ante Harán, filium Thérah Genes. 11. 28. non mortuus fuerit filius ante patrem, morte scilicet naturali: quo tempore, inquit, fieri cœpisse Statuas ex luto, cum antea tantum coloribus & picturis homines usi fuissent,

HOLKOT Anglus, cujus extant Prælectiones in hunc Librum, ex Fulgentio de Syrophane quodam narrat,

quòd in Ægypto fuerit Vir ditiſsimus, unicum habens filium, quem immoderatè dilexerit. Cum mortuus eſſet hic filius, pater ejus ſimulacrum præ nimio dilectionis affectu in ædibus ſuis conſtituit. Familia in adulationem Domini flores & coronas ei obtulit, ac odoramenta ſuccendit. Rei ad illud Idolum confugientes, veniam ſunt adepti. Et addit Holkot, quod non ſit repugnantia inter hanc, & Beli hiſtoriam: quia origo Idololatriæ in diverſis regionibus diverſos habuerit inventores. Etiam hæc ſive hiſtoria, ſive *fabula* Bellarmino prodeſſe potuiſſet,

Ad *poſterius* reſponderi poteſt, quòd non ſit contrarium Libro SAPIENTIÆ. Vt enim in 14. cap. de imagine hominis dicit: ita antè in 12. cap. de luminibus cœli, & elementis, pro Dijs habitis, dixit. Nec id è ſolo Euſebio, ſed etiam ex alijs ante ipſum probari poteſt.

De PERSIS Herodotus in Clio: ſacri-

Sacrificant Soli, Lunæ, Telluri, Igni, Aquæ, Ventis: his enim ſolis ut ſacrificent, antiqua obtinuit conſuetudo. De ijſdem vide Ciceronem lib. 2. de Legibus. pag. 174.

De Ægyptijs Diodorus Siculus lib. 1. fol. 7. exiſtimant, duos eſſe Deos æternos & primos, Solem videlicet & Lunam: quorum illum Oſirin, id eſt, πολυόφθαλμον: quò accommodat Homeri verſum 108. Odyſ. undecimo: hanc Isin, id eſt, παλαιὰν, ſempiternam & priſcam appellant.

De antiquis Græcis Plato in Cratylo, in quo ὀνομάτων ὀρθότητα inquirit, ſcribit, quòd eos ſolummodò Deos putarint, quos ſemper in curſu eſſe viderint, Solem ſcilicet & Lunam, Stellas ac Cœlum, quos etiam ἀπὸ τοῦ θέειν, *à currendo*, θεοὺς, *hoc eſt*, Deos nominarint. Hanc Etymologiam repetit Euſebius lib. 1. c. 6. & lib. 11. c. 4. de præparatione Evangelica.

Romanis Numa uſu effigiei alicujus

cujus Divûm, quæ hominis, aut animalis cujuſcunque formam haberet, interdixit. Neq; priſcis illis temporibus fuit apud illos vel picta ulla imago Dei, vel ficta: ſed primis centum atq; Septuaginta annis, etſi templa ædificaſſent, atq; ſacras caſas ſtruxiſſent, nullum tamen omnino ſimulacrum efformavére: nempe eò, quòd & *nefas eſſet*, præſtantiora *deterioribus* aſsimilare, neque Deum aliter, quàm mente, attingi poſſe cenſerent, Plutarchus in Numa. τοῦτο δὲ διεκώλυσεν, ἀνθρωποειδῆ καὶ ζωόμορφον εἰκόνα θεοῦ νομίζειν, οὐδ᾽ ἦν παρ᾽ αὐτοῖς οὔτε γραπτὸν, οὔτε πλαστὸν εἶδος θεοῦ πρότερον, ἀλλ᾽ ἑκατὸν ἑβδομήκοντα τοῖς πρώτοις ἔτεσι ναοὺς μὲν οἰκοδομούμενοι διετέλουν, καὶ καλιάδας ἱερὰς ἱστῶντες, ἄγαλμα δὲ οὐδὲν ἔμμορφον ποιούμενοι διετέλουν, ὡς οὔτε ὅσιον ἀφομοιοῦν τὰ βελτίονα τοῖς χείροσιν, οὔτε ἐφάπτεσθαι θεοῦ δυνατὸν ἄλλως, ἢ νοήσει.

Ex his intelligi poteſt, SAPIENTIÆ Librum nihil falſi continere.

Vt autem SIBRANDVS rectè diſpu-

diſputat, SAPIENTIÆ librum non eſſe Canonicum: ita rectius feciſſet, ſi de Autore ejus honorificentius locutus fuiſſet. *Sic enim inquit*: Hic liber Scriptus eſt vel à Iudæo Chriſtum contemnente, vel à Gentili Chriſtum ignorante. *Gentilem intelligit*, de quo Ioſephus lib. 1. contra Appionē, & quem Bellarminus antiquiorem PHILONEM appellaverat, qui verbis Græcis Salomonis ſententias complexus eſſet.

Sed mirum eſt, SIBRANDVM Ethnico velle adſcribere librum, qui totus è Veteri Teſtamento deductus atq; extructus eſt, & in quo ſummus Iudæi zelus contra Idola perſpicitur. AVGVSTINVS certè contra Fauſtum. 19. 31. ait, hunc Librum *in manifeſto prædicare vitam æternam*.

Si à IVDÆO ſcriptus eſt hic Liber, & is Iudæus vixit poſt tempora Chriſti, contempſerit ſanè Chriſtum in corde ſuo, & ab humilitate ejus reſiluerit: *non tamen contradixit* Chriſto in hoc Libro,

bro, nec aliena ab ejus doctrina proposuit. Quin in præcipuis novi Testamenti libris reperiuntur phrases & sententiæ, quæ cum hoc libro concordant. *Non tamen verum est*, quod Bellarminus Romæ dictavit, & postea typis committere ausus non est, *citari hujus libri* 9. cap. Rom. 11. 34. & 7. cap. ad Hebr. 1. 3.

Si verò is Iudæus vixit ante tempora Christi, certum est, quòd Christum non contempserit, de quo Iudæi omnes magnificè, ut par erat, sentiebant & dicebant. Immò PATRES censuerunt *in hoc libro prædictam fuisse passionem* Christi. Cyprianus lib. 2. adversus Iudæos: *quòd ipse sit* Iesus Christus, *quem Iudæi occisuri essent*, in SAPIENTIA Salomonis c. 2. v. 12. Et in tractatu de Sion & Sina: dicente Salomone *de ipsa passione Dominica* Sap. 2. 19. etc. Augustinus contra Faustum 12. 44. sic Iudæi noverant illos CHRISTOS suos, ut tamen VNVM sperarent, per quem demum liberarentur. Sed excæcati occul-

occulta justitia Dei, dum solam ejus VIRTUTEM cogitant, INFIRMITATEM, in qua pro nobis mortuus est, non intellexerunt. *Hinc illa verba* in Libro SAPIENTIÆ de illis prædicta cognoscimus: morte turpissima condemnemus illum, c. 2. v. 20.

Quanquam autem hæc PATRUM sententia PIA magis videtur, quàm VERA: tamen hinc intelligitur, ut & Holkot statuit, quòd existimarint, hunc Librum ante tempora Christi Scriptum esse, & hinc Augustinus contra Faustum, 21. 9. *veterem* Librum nominat. Et tantum abest, ut judicarint eum ab incredulo Ethnico, aut spretore Christi Iudæo Scriptum esse, ut eum augustissimo SALOMONIS nomine citent, & non tantùm *Scripturam* appellent, sed etiam Scripturam VERACEM, SANCTAM, DIVINAM, in qua DIVINE dictum sit, in qua per Salomonem SPIRITUS SANCTUS docuerit, August. de C. Dei 19. 4. & 11. 10.

Cypri-

Cyprianus lib. 4. epiſt. 1. & de habitu Virginum. Cyrillus lib. 2. contra Iulianum ferè ſub finem. Auguſt. contra Fauſtum 6. 3. Cyprianus Sermone 4. de mortalitate.

Quo autem fine, & ad cujus rei confirmationem hunc Librum citent, inter explicandum, ad ſingulos verſus, Deo bene iuvante, annotabitur.

*F I N I S.*

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-666242-p0085-5

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-666242-p0086-0

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-666242-p0087-6

# LIBER SAPI-
# ENTIÆ SALO-
# MONIS,

*In usum Scholæ Coburgensis seorsim editus, Græcè,*

CVRANTE M. IOHANNE F[illegible]BRO, EIVSDEM SCHOLÆ RECTORE.

Iudi[illegible]um præcipui alicujus Theologi de hoc Libro:

*Quamv[illegible] PHILONIS opus esse consensus Ecc[illegible]sticorum Scriptorum testetur, certè liber [illegible] AVREVS, & inprimis dignus, qui [illegible]cipibus, ac omni Magistratui di[illegible]ter & sedulò proponatur, & [illegible]ris temporibus per omnia conveniens est.*

COBVRGI,

A[illegible]O CHRISTI M. DCI.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-666242-p0088-1